# ΕΚ ΤΩΝ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

## ΕΠΙΣΚΟΠΟΥ ΝΑΖΙΑΝΖΟΥ.

## Α΄. Περὶ Ἱερωσύνης.

### Ὑπόθεσις.

Βιαζόμενος ὑπὸ τῶν ἀγαπώντων ὁ μέγας Γρηγόριος, ἵνα τὸ τοῦ πρεσβυτέρου δεχθῇ ἀξίωμα, καὶ μὴ βουλόμενος, ἔφυγεν εἰς τὴν ἔρημον· ὕστερον δὲ πεισθεὶς, τοῦ πατρὸς μάλιστα κελεύοντος, τὸν λόγον τοῦτον εἰς ἀπολογίαν τῆς φυγῆς ἐξεφώνησε συνθείς· ἔνθα τὸ ὕψος δείκνυσι τοῦ ἀξιώματος, καὶ τίνα εἰσὶ ἃ προσήκει ποιεῖν τοὺς τὸ ἀξίωμα ἔχοντας, ὅπως τε παιδείας ἔχειν, καὶ ἀρετῆς δεῖ· καὶ τὸ αὔθαδες ἐνίων ἀπελέγχει κακῶς εἰδότων περὶ τοῦ χρήματος. Βασίλειος δέ τις Καισαρίας ἐπίσκοπος, ὡς δοκεῖ, σχολιάζων τὸν λόγον τοῦτον φησίν· » Ἔοικεν οὗτος ὁ λόγος μετὰ τὸν εἰς τὸ Πάσχα πρῶτον γεγράφθαι. Ἐκεῖνος μὲν γὰρ αὐτοσχεδίως ἐκδέδοται, καὶ συντόμως μετὰ τὴν » τοῦ πρεσβυτέρου χειροτονίαν καὶ τὴν φυγὴν ἐκπεφώνηται· οὗτος δὲ ἐν ὑστέρῳ » συντέτακται, καὶ μετὰ πλείονος τῆς σχολῆς καὶ ἐπιστάσεως.

§ 1. Ἥττημαι,[2] καὶ τὴν ἧτταν ὁμολογῶ· ὑπετάγην[3] τῷ Κυρίῳ, καὶ ἱκέτευσα αὐτόν. Ὁ γάρ μοι μακαριώτατος Δαβὶδ[4] ἀρχέτω τοῦ λόγου· μᾶλλον δὲ ὁ ἐν τῷ Δαβὶδ φθεγξάμενος,[5] καὶ εἰσέτι καὶ νῦν δι' αὐτοῦ φθεγγόμενος. Ἐπειδὴ καὶ τάξις ἀρίστη, παντὸς ἀρχομένῳ[6] καὶ λόγου, καὶ πράγματος ἐκ Θεοῦ τε ἄρχεσθαι, καὶ εἰς Θεὸν ἀναπαύεσθαι. Τὸ δὲ αἴτιον,[7] ἡ τῆς πρὸ τοῦ στά-

---

§ 1. 2. Ἥττημαι.) Ὥσπερ ἀγῶνός τινος τὴν ἑαυτοῦ ἑλόντος γνώμην τε καὶ βουλὴν, εἶτα καταναγκασθεὶς ὑπὸ τῶν ἀντιπάλων τῶν εἰς τὴν τοῦ πρεσβυτέρου παραδοχὴν ἑλκόντων, ἡττᾶσθαι ἔφη, ἀλλ' ἧτταν σωτήριον, τῷ Κυρίῳ κελεύοντι ὑποταγεὶς, καὶ εἰς ἱκέτου τάξιν ἐληλυθὼς, ὡς αὐτοῦ τοῦ Κυρίου καλέσαντος, καὶ τὴν ἱερουργίαν καταδεχθῆναι κελεύοντος. — 3. Ὑπετάγ.) Δαβὶδ· ψαλμ. λϛ΄. 7. — 4. Ὁ γάρ μοι μακαριώτατος Δαβίδ.) Καὶ μονονουχὶ Δαβὶδ ἦρξε τοῦ λόγου, τοῦ πλείονος τῆς προτάσεως δανειστικοῦ ὄντος· οἷον τὸ, Ὑπετάγην τῷ Κυρίῳ καὶ ἱκέτευσα αὐτόν. — 5. Φθεγξάμενος.) ὁ Θεὸς δηλ. — 6. Ἀρχομένῳ.) Ἡ δοτικὴ εἰς τὸ Ἐστίν· οἷον. Ἡ τάξις ἐστὶν ἀρίστη τῷ ἀρχομένῳ παντὸς καὶ τλ. Ἔστι δὲ ταῦτα μεταπεποιημένα ἀπὸ τῆς Δημοσθένους πρώτης ἐπιστολῆς· ἐν ᾗ ἐκεῖνος λέγει· »Παντὸς ἀρχομένῳ σπουδαίου λόγου καὶ ἔργου ἀπὸ τῶν θεῶν »ὑπολαμβάνω προσήκειν πρῶτον ἄρχεσθαι.« — 7. Τὸ δὲ αἴτιον.) Διότι ἀποστὰς ἐξ ὀλιγοψυχίας πρότερον, ἐμάκρυνα ἀφ' ὑμῶν πολὺν χρόνον, καὶ διότι ἥμερος



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

σεως καὶ ὀλιγοψυχίας, δι' ἣν ἐμάκρυνα φυγαδεύων,[8] καὶ ηὐλίσθην ἀφ' ὑμῶν χρόνον οὐ μικρὸν ἴσως τοῖς γε ποθοῦσιν,[9] ἢ τῆς νῦν ἡμερότητος καὶ μεταβολῆς, δι' ἣν αὖθις ἐμαυτὸν ἔδωκα φέρων[10] ἡμῖν, ἄλλος μὲν ἄλλο τι οἰέσθω τε καὶ λεγέτω τῶν ἢ μισούντων ἢ ἀγαπώντων ἡμᾶς, ὁ μὲν οὐκ ἀφιεὶς αἰτίας,[11] ὁ δὲ καὶ προσαποδεχόμενος. Οὐδὲν γὰρ οὕτως ἡδὺ τοῖς ἀνθρώποις, ὡς τὸ λαλεῖν τὰ ἀλλότρια· καὶ μάλιστα ἐὰν τύχωσιν ὑπ' εὐνοίας τινὸς ἢ μίσους ἑλκόμενοι, ὑφ' ὧν καὶ φιλεῖ κλέπτεσθαι ὡς τὰ πολλὰ ἡ ἀλήθεια. Ἐγὼ τ' ἀληθὲς εἰς μέσον θήσω μηδὲν αἰσχυνθείς, καὶ διαιτήσω[12] δικαίως ἀμφοτέροις τοῖς μέρεσιν, ὅσοι κατηγοροῦσιν ἡμῶν, καὶ ὅσοι ὑπεραπολογοῦνται προθύμως· τὸ μέν τι[13] κατηγορήσας ἐμαυτοῦ, τὸ δὲ ὑπεραπολογησάμενος.

§ 2. Καὶ ἵνα γε καθ' ὁδὸν ὁ λόγος προΐῃ, περὶ τῆς δειλίας προτέρας οὔσης, καὶ διαλέξομαι.[2] Οὐδὲ γὰρ ἀνέχομαι πλήττεσθαί τινας ἐν ἐμοὶ τῶν πάντα τηρούντων ἐπιμελῶς τὰ ἡμέτερα, εὖ τε καὶ ὡς ἑτέρως[3] ἔχοντα, ἐπειδή τι τὸ καθ' ἡμᾶς[4] εἶναι, Χριστιανοῖς εὐδόκησεν ὁ Θεός, καὶ τοὺς ἤδη πεπληγότας,[5] εἴ περ τινές εἰσι, διὰ τῆς ἀπολογίας ἰάσομαι, καλὸν γὰρ μήτε ἁμαρτάνοντα, μήτε ὑπονοούμενον, ἕως ἂν οἷός[6] τε ᾖ καὶ ὁ λόγος αἱρῇ, τιθέναι πρόσκομμα[7] τοῖς πολλοῖς ἢ σκάνδαλον· εἴ περ καὶ τοῖς ἕνα τῶν μικρῶν σκανδαλίσασιν, ἴσμεν ὅπως ἀπαραίτητος, καὶ βαρυτάτη παρὰ τοῦ ἀψευδοῦς[8] ἡ τιμωρία.

---

γενόμενος, καὶ μεταβληθείς, ἔδωκα φέρων ἐμαυτὸν τῷ Κυρίῳ μου καὶ ὑμῖν· νομιζέτω τε καὶ λεγέτω ἄλλος ἄλλο τι εἶναι, ἕκαστος καθ' ἣν ἔτυχεν ἔχων πρὸς ἡμᾶς διάθεσιν· εἰ μὲν γὰρ τύχῃ μισῶν, μὴ συγχωρήτω, ἀποδεχέσθω δέ, εἴ τις τύχοι ἀγαπῶν. — 8. Ἐμάκρυνα φυγαδεύων.) Δαβὶδ Ψαλμ. νδ'. 7. Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. — 9. Τοῖς γε ποθοῦσιν.) Ἡ δοτικὴ πρὸς τὴν ὑπακουομένην ὑπαρκτικὴν μετοχήν· οἷον· χρόνον οὐ μικρὸν ὄντα, εἰ γοῦν μὴ ἄλλοις, ἀλλά γε τοῖς ποθοῦσι. — 10. Ἔδωκα φέρων.) Τὸ Φέρων καί τοι ὡς παρέλκον ἐν τῷ λόγῳ ἐπάγεται, ὅμως οὐκ ἀφίσταται τῆς ἰδίας σημασίας. — 11. Οὐκ ἀφιεὶς αἰτίας.) Μὴ συγχωρῶν δηλ. τὸ γὰρ Ἀφίημί σε αἰτίας, κατὰ περίφρασιν ἀντὶ τοῦ Συγχωρῶ. — 12. Καὶ διαιτήσω.) Ἀμφω δηλ. τοῖς μέρεσι διαιτήσω καλῶς, τοῖς μὲν κατηγοροῦσιν ἐμαυτοῦ συγκατηγορήσω, τοῖς δ' ὑπεραπολογουμένοις, ὑπεραπολογήσομαι. — 13. Τὸ μέν τι.) Κατὰ μὲν τὸ ἓν μέρος, τῶν κατηγορούντων δηλ. διαιτήσω, κατηγορήσας ἐμαυτοῦ· κατὰ δὲ τὸ ἕτερον, τῶν ὑπεραπολογουμένων δηλ. διαιτήσω, ὑπεραπολογησάμενος.

§ 2. 2. Καὶ διαλέξομαι.) Ὁ Καί, ἑτοιμότητα σημαίνει ἐνταῦθα. — 3. Εὖ τε καὶ ὡς ἑτέρως.) Ἀντὶ Καλῶς καὶ κακῶς ἔχοντα. — 4. Ἐπειδή τι τὸ καθ' ἡμᾶς.) Ἐπειδὴ ὁ Θεὸς εὐδόκησε τοῖς Χριστιανοῖς ἵνα καὶ τὸ καθ' ἡμᾶς ᾖ τι μέγα δηλ. καὶ διαφέρων τῶν πολλῶν· τὸ δὲ Τὸ καθ' ἡμᾶς ἀντὶ τοῦ Ἡμεῖς· Ἵνα δηλ. καὶ ἡμεῖς ὦμέν τι. — 5. Πεπληγότας.) Παθόντες τι δηλ. ἐν ἐμοί. — 6. Ἕως ἂν οἷος.) Ἕως δηλ. δυνατὸν ᾖ, καὶ ὁ ἐνδιάθετος λόγος, τοῦτ' ἔστιν, ὁ νοῦς καταλαμβάνῃ, κύριος δηλ. ᾖ. — 7. Τιθέναι πρόσκομμα.) Ἐκ τοῦ Ἀποστόλου Παύλου λέγοντος· Ῥωμ. ιδ'. 13. «Ἀλλὰ »τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρό»σκομμα τῷ ἀδελφῷ, ἢ σκάνδαλον.» — 8. Παρὰ τοῦ ἀψευδοῦς.) Δεσπότου Χριστοῦ λέγοντος· Λουκ. ιζ'. «Ἀνένδεκτόν

§ 3. Ἐγὼ γὰρ ἔπαθον τοῦτο, ὦ ἄνδρες, οὔτε ὡς ἀπαίδευτος καὶ ἀσύνετος· ἀλλὰ μᾶλλον,[2] ἵνα καὶ μικρόν τι καυχήσωμαι, οὔτε ὡς ὑπεροπότης τῶν θείων νόμων καὶ διατάξεων. Ὅτι καθάπερ ἐν σώματι,[3] τὸ μέν τι ἄρχον ἐστὶ, καὶ οἷον προκαθηζόμενον, τὸ δὲ ἀρχόμενον καὶ ἀγόμενον· οὕτω κἀν ταῖς Ἐκκλησίαις διέταξεν ὁ Θεὸς ἰσότητος νόμῳ τῆς ἐχούσης τὰ κατ᾽ ἀξίαν, ἢ καὶ προνοίας, ᾗ τὰ πάντα συνέδησε, τοὺς μὲν ποιμαίνεσθαί τε καὶ ἄρχεσθαι, ὅσοις τοῦτο λυσιτελέστερον, καὶ λόγῳ, καὶ ἔργῳ πρὸς τὸ δέον ἰθυνομένους. Τοὺς δὲ εἶναι ποιμένας καὶ διδασκάλους πρὸς τὸν καταρτισμὸν τῆς Ἐκκλησίας, ὅσοι τῶν πολλῶν εἰσὶν ἀνωτέρω κατ᾽ ἀρετὴν, καὶ τὴν πρὸς τὸν Θεὸν οἰκείωσιν, λόγον ψυχῆς[4] πρὸς σῶμα, ἢ νοῦ πρὸς ψυχὴν ἀπέχοντας. Ἵν᾽ ἀμφότερα συντεθέντα ἀλλήλοις καὶ συγκραθέντα, τό τε ὑστεροῦν καὶ τὸ πλεονάζον, ὥσπερ ἐν μέλεσι, καὶ τῇ ἁρμονίᾳ τοῦ Πνεύματος συμβιβασθέντα, καὶ συνδεθέντα, ἓν ἄρτιον ἀποδειχθῇ σῶμα, καὶ αὐτοῦ Χριστοῦ[5] τῆς κεφαλῆς ἡμῶν ὄντως ἄξιον. Οὔτε οὖν τοῖς ἄλλοις[6] ἀναρχίαν καὶ ἀταξίαν λυσιτελεστέραν οἶδα τάξεως καὶ ἀρχῆς, οὔτε ἀνθρώποις, ἀλλὰ τούτοις καὶ πάντων οὐχ ἥκιστα, ὅσῳ καὶ περὶ μειζόνων αὐτοῖς ὁ κίνδυνος. Οἷς μέγα, κἂν εἰ τὸ πρῶτον τοῦ λόγου[7] μὴ σώζοιεν, τὸ μηδὲν ἁμαρτάνειν, ἀλλὰ τό γε δεύτερον ἐκείνου, τὶ ἁμαρτάνοντας ἐπανάγεσθαι.

§ 4. Ἐπειδὴ τοῦτο καλὸν ἐφάνη καὶ δίκαιον, ἴσον ἐμοὶ κακὸν

---

»ἐστι τοῦ μὴ ἐλθεῖν τὰ σκάνδαλα· οὐαὶ »δὲ δι᾽ οὗ ἔρχεται· λυσιτελεῖ αὐτῷ, εἰ »μύλος ὀνικὸς περίκειται περὶ τὸν τράχηλον αὐτοῦ καὶ ἔῤῥιπται εἰς τὴν θάλασσαν, ἢ ἵνα σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων.«

§ 3. 2. Ἀλλὰ μᾶλλον.) Ὡς πεπαιδευμένος δηλ. καὶ συνετός· Εἴρηκε δὲ κατ᾽ ἔλλειψιν διὰ τὸ φορτικὸν τοῦ ἐπαίνου· οὕτω γὰρ καὶ τὴν φράσιν ἐκόσμησε, καὶ τὴν ἔγγραφον ἐπαχθῆ ἐξέφυγεν αὐτοῦ εὐφημίαν. Τίνων δέ ἐστι πεπαιδευμένος καὶ συνετός; ὧν ὁ Ἀπόστολος λέγει· Ῥωμ. ιγ΄. »Πᾶσα ψυχὴ ἐξουσίαις »ὑπερεχούσαις ὑποτασσέσθω· οὐ γὰρ ἔ»στιν ἐξουσία εἰ μὴ ἀπὸ Θεοῦ·« καὶ τλ. — 3. Ἐν σώματι.) Ζώου, ἢ τοῦ ἀνθρώπου· ἄρχον μὲν γάρ ἐστιν ἡ κεφαλὴ προκαθημένη, τὰ δὲ ἄλλα μέλη ἀρχόμενα. — 4. Λόγον ψυχῆς.) Κατ᾽ ἀναλογίαν δηλ. ἣν ἔχει ψυχὴ πρὸς σῶμα, ἢ νοῦς πρὸς ψυχήν· ὀφθαλμοῦ γὰρ δίκην ὁ νοῦς πρὸς ψυχήν ἐστι, καὶ ἡγεμονικὸν καλεῖται ὡς ἐξάρχων, καὶ τοῦ ὅλου ὑπερκείμενος. — 5. Καὶ αὐτοῦ Χριστοῦ.) Παῦλ. Κορινθ. Α΄. ιβ΄. 12. καὶ 27. — 6. Οὔτε οὖν τοῖς ἄλλοις.) Ζώοις δηλ. ἔστι γάρ τις καὶ ἐν αὐτοῖς τάξις καὶ λόγος, ὡς ἐν ἰχθύσι, καὶ γεράνοις, καὶ μελίσσαις· μάλιστα δὲ πάντων ἀνθρώποις· τὸ γὰρ Οὐχ ἥκιστα τὸ Μάλιστα δηλοῖ. — 7. Τὸ πρῶτον τοῦ λόγου.) Τὸ μηδὲν ἁμαρτάνειν· τοῦτο γὰρ τοῦ λογιστικοῦ κατόρθωμα τυγχάνειν μᾶλλον τοῦ καλοῦ ἤπερ ἀποτυγχάνειν, ὅπερ ἐστὶν ἁμαρτάνειν· δεύτερον τὸ ἐπανάγεσθαι πρὸς διόρθωσιν, καὶ τῷ λόγῳ ἕπεσθαι καὶ στοιχεῖν, ὃς ἄριστος ἐστὶ κριτὴς τοῦ καλοῦ. Ταῦτα πρὸς τὸν ἑαυτοῦ ἕλκει σκοπὸν, ὡς διὰ τῆς μεταγνώσεως ἀνάγεσθαι νῦν πρὸς τὸ πρότερον τοῦ λόγου καλὸν τὴν πειθώ· ὃ καὶ δίκαιον ἔδειξε καὶ καλόν· οὗ συναποδέδεικται καὶ τὸ ἐναντίον κακόν· ἢ πάντας δηλ. ἄρχειν ἐθέλειν, ἢ μηδένα δέχεσθαι τὴν ἀρχήν.

καὶ ὁμοίως ἄτακτον, πάντας τε ἄρχειν ἐθέλειν, καὶ μηδένα δέχεσθαι. Ὡς εἴγε πάντες φεύγειεν ταύτην, τὴν εἴτε λειτουργίαν χρὴ λέγειν, εἴτε ἡγεμονίαν, χωλεύοι ἂν τῷ μεγίστῳ μέρει, καὶ οὐδ᾽ ἂν καλὸν[2] ἔτι μένοι τὸ καλὸν τῆς Ἐκκλησίας πλήρωμα. Ποῦ δ᾽ ἂν ἔτι καὶ παρὰ τίνων θρησκεύοιτο[3] ἡμῖν ὁ Θεὸς τὰ μυστικὰ καὶ ἄνω φέροντα, ὃ δὴ μέγιστόν ἐστι τῶν ἡμετέρων καὶ τιμιώτατον, οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐδὲ ἱερατείας, οὐδὲ θυσίας, οὐδ᾽ ὅσα ὡς μέγιστα[4] ἐπὶ μεγάλοις τοῖς πταίσμασιν, οἱ πάλαι ἀπειθεῖς κατεκρίθησαν; Ἀλλὰ οὐδὲ ξένον τι καὶ ἀπὸ τρόπου τοῖς πολλοῖς τὰ θεῖα φιλοσοφοῦσιν, ἐπὶ τὸ ἄρχειν ἀναβαίνειν ἀπὸ τοῦ ἄρχεσθαι, οὐδὲ ἔξω τῶν νενομισμένων τῆς φιλοσοφίας ὅρων,[5] καὶ φέρον εἰς ὄνειδος, ὥσπερ οὐδὲ[6] ναύτῃ τῶν εὐδοκίμων, τὸ πρωρατεῦσαι, καὶ πρωρεῖ καλῶς τοὺς ἀνέμους τηρήσαντι, τὸ πιστευθῆναι τοὺς οἴακας· εἰ δὲ βούλει, στρατιώτῃ γενναίῳ τὸ ταξιαρχῆσαι, καὶ ταξιάρχῃ καλῷ, τὸ στρατηγῆσαί τε καὶ πολέμου παντὸς ἡγεμονίαν ἐγχειρισθῆναι. Οὐ μὴν οὐδ᾽ ὅ περ ἂν ὑπολάβοι τις ἴσως τῶν πάντα ἀτόπων καὶ μοχθηρῶν, οἱ κρίνουσι τὰ τῶν ἄλλων τοῖς οἰκείοις πάθεσιν, ᾐσχύνθην τοῦ βαθμοῦ τὴν τάξιν ἐπιθυμίᾳ τῆς μείζονος. Οὐχ οὕτως ἐγώ, ἢ τοῦ θείου μεγέθους, ἢ τῆς ἀνθρωπίνης ταπεινώσεως ἄπειρος, ὡς μὴ μέγα νομίζειν πάσῃ γενητῇ φύσει, καὶ ὁποσοῦν πλησιάζειν Θεῷ, τῷ μόνῳ φανωτάτῳ[7] καὶ λαμπροτάτῳ, καὶ ὑπερέχοντι πάσης ὑλικῆς καὶ ἀΰλου φύσεως καθαρότητι. Τί οὖν ἐστιν ὃ πέπονθα; καὶ τίς ὁ λόγος τῆς ἐμῆς ἀπειθείας; Οὐδὲ γὰρ ἔδοξα τοῖς πολλοῖς ἐν ἐμαυτῷ τότε μένειν, οὐδ᾽ εἶναι ὥσπερ ἐγινώσκομεν, ἀλλ᾽ ἕτερος ἐξ ἑτέρου τις γεγονέναι, καὶ πλέον ἢ καλῶς εἶχεν, ἀντιτείνειν καὶ αὐθαδιάζεσθαι. Τούτου δὴ τὰς αἰτίας ἀκούοιτε ἂν[8] ἤδη πάλαι ποθοῦντες.

§ 5. Μάλιστα μὲν[2] τῷ ἀδοκήτῳ πληγείς, ὥσπερ οἱ τοῖς αἰ-

---

§ 4. 2. Καὶ οὐδ᾽ ἂν καλόν.) Καλὸν γὰρ κεφαλὴν ἔχειν τὸ τῆς Ἐκκλησίας πλήρωμα, καὶ τάξει κοσμεῖσθαι θεοπρεπεῖ· οὐ καλὸν δὲ τούτων ἑκάτερον χωρίς. — 3. Θρησκεύοιτο.) Ἡ λέξις Θρακική, παρ᾽ οἷς Ὀρφεὺς τὴν θεῶν λατρείαν ἐδίδαξεν, ἣν ἔπειτα καὶ λοιποὶ παρέλαβον Ἕλληνες. Ἐτυμολ. Σουίδ. Εὐριπ. —4. Οὐδ᾽ ὅσα ὡς μέγιστα.) Ἐκεῖνα αἰνίττεται, ἐν οἷς ἐπὶ πολλοῖς πταίσμασιν οἱ ἀπειθεῖς κατεκρίθησαν Ἰουδαῖοι· περὶ ὧν γέμει τὰ τῆς παλαιᾶς γραφῆς βιβλία. — 5. Τῶν νενομισμένων.... ὅρων.) Οὕτω γὰρ Πλάτων φησίν· ὅτι τότε τὸ ὑπήκοον καλῶς ἕξει, ὅτε φιλοσοφεῖ βασιλεύς, ἢ βασιλεύει φιλόσοφος. — 6. Ὥσπερ οὐδέ.) Ἐστὶ ξένον, καὶ φέρον εἰς ὄνειδος. — 7. Τῷ μόνῳ φανωτάτῳ.) Ὑποθετικῶς ταῦτα εἰπών, προστέθεικεν εἰκότως τὸ, Μόνῳ· καθ᾽ ὅτι ἔστι τινὰ καὶ ἐν ἀΰλοις οὐσίαις, καὶ οὐρανίαις δυνάμεσιν, ἀλλὰ δὴ καὶ ἐν ἀνθρώποις τὰς τοιαύτας φωνὰς δεχόμεθα· διὸ καὶ πάλιν ὑπάγει διακρίνων Τῷ ὑπερέχ. καὶ τλ. — 8. Ἀκούοιτε ἄν.) Ἀντί, Ἀκούσετε.

§ 5. 2. Μάλιστα μέν.) Πρώτη δηλ. αἰτία τῆς ἀπειθείας τῆς τοῦ κλήρου παραδοχῆς ἡ τοῦ ἀπροσδοκήτου φορά, ἥτις καὶ ἐπλήξέ με. Σημείωσαι δὲ ὅτι

ΕΥ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

φνιδίοις τῶν ψόφων καταπλαγέντες, οὐ κατέσχον[3] τοὺς λογισμούς, καὶ διὰ τοῦτο ἔλυσα τὴν αἰδῶ, πάντα τὸν χρόνον ταύτῃ συνειθισμένος. Ἔπειτα μέ τις ὑπεισῄει ἔρως τοῦ καλοῦ τῆς ἡσυχίας, καὶ τῆς ἀναχωρήσεως, ἧς ἐραστὴς γενόμενος ἐξ ἀρχῆς, ὡς οὐκ οἶδ' εἴ τις[4] ἄλλος τῶν περὶ λόγους ἐσπουδακότων, καὶ ἦν ἐν τοῖς μεγίστοις καὶ χαλεπωτάτοις κινδύνοις καθυποσχόμενος τῷ Θεῷ, καί τοι καὶ προσαψάμενος ταύτης, ὅσον ἐν προθύροις γενέσθαι, καὶ πλειόνα μοι τὸν πόθον ἐξαφθῆναι διὰ τῆς πείρας, οὐκ ἤνεγκα τυραννούμενος, καὶ εἰς μέσους τοὺς θορύβους ὠθούμενος, καὶ οἷος ἀπὸ ἱεροῦ τινος ἀσύλου τοῦ βίου τούτου πρὸς βίαν ἀποσπώμενος. Οὐδὲν γὰρ ἐδόκει μοι τοιοῦτον, οἷος[5] μύσαντα τὰς αἰσθήσεις, ἔξω σαρκὸς καὶ κόσμου γενόμενον, καὶ εἰς ἑαυτὸν συστραφέντα, μηδενὸς τῶν ἀνθρωπίνων προσαπτόμενον· ὅτι μὴ πᾶσα ἀνάγκη,[6] ἑαυτῷ προσλαλοῦντα,[7] καὶ τῷ Θεῷ, ζῆν ὑπὲρ τὰ ὁρώμενα, καὶ τὰς θείας ἐμφάσεις ἀεὶ καθαρὰς ἐν ἑαυτῷ[8] φέρειν, ἀμιγεῖς τῶν κάτω χαρακτήρων καὶ πλανωμένων, ὄντως ἔσοπτρον ἀκηλίδωτον Θεοῦ καὶ τῶν θείων, καὶ ὄντα, καὶ ἀεὶ γινόμενον, φωτὶ προσλαμβάνοντα φῶς, καὶ ἀμαυροτέρῳ τρανότερον, ἤδη τὸ τοῦ μέλλοντος αἰῶνος ἀγαθὸν ταῖς ἐλπίσι καρπούμενον, καὶ συμπεριπολεῖν ἀγγέλοις, ἔτι ὑπὲρ γῆς ὄντα, καταλείποντα τὴν γῆν, καὶ ὑπὸ τοῦ Πνεύματος ἄνω τιθέμενον. Εἴ τις ὑμῶν τούτῳ τῷ ἔρωτι κάτοχος, οἶδεν ὃ λέγω, καὶ τῷ τότε πάθει συγγνώσεται. Τοὺς γὰρ πολλοὺς οὐδ' ἂν πείσαιμι λέγων ἴσως, ὅσοις καὶ ἐν γέλωτι τὸ πρᾶγμα εἶναι δοκεῖ κακῶς διατεθεῖσιν, εἴτε ὑπὸ τῆς ἰδίας αὐτῶν ἀνοίας, εἴτε ὑπὸ τῶν ἀναξίων τοῦ ἐπαγγέλματος, οἳ πράγματι καλῷ κακὸν περιτεθείκασιν ὄνομα, τῇ φιλοσοφίᾳ τὴν κενοδοξίαν,[9] συνεργὸν λαβόντες τὸν φθόνον, καὶ τὴν τῶν πολλῶν κακίαν, πρὸς τὸ χεῖρον οὖσαν ἑτοιμοτέραν. Ἵν' ἕν γέ τι πάντως αὐτοῖς ἁμαρτάνηται, ἢ τὸ κακὸν ἐνεργούμενον, ἢ τὸ καλὸν ἀπιστούμενον.

§ 6. Πρὸς δὲ τούτοις, πρᾶγμα ἔπαθον (ἐκλαλήσω γὰρ πρὸς ὑμᾶς πᾶν τὸ ἀπόρρητον) οὐκ οἶδα εἴτε ἄγροικον, εἴτε ἐλεύθερον

---

ἔστι χρῆσθαι ἀντὶ τοῦ Πρῶτον μέν, τῷ Μάλιστα μὲν παρὰ τοῖς ῥήτορσι μάλιστα συνήθους ὄντος τοῦ πράγματος. — 3. Καταπλαγέντες, οὐ κατέσχον.) Ἀντιχρονισμός, διὰ τὸ βέβαιον. — 4. Ὡς οὐκ οἶδ' εἴτις.) Οὕτω δηλ. γενόμενος ἐραστὴς τῆς ἡσυχίας, καθάπερ, ὡς ὑπολαμβάνω, οὐδεὶς ἄλλος τῶν καὶ τλ. — 5. Οἷος.) Οἷός ἐστι τὸ ζῆν ὑπὲρ τὰ ὁρώμ. καὶ τλ. — 6. Ὅτι μὴ πᾶσα ἀνάγκη.) Ἐκτὸς δηλ. τῆς μεταλήψεως τῶν ἀναγκαίων, καὶ ὧν χωρὶς οὐκ ἔστι ζῆν. — 7. Ἑαυτῷ προσλαλοῦντα.) Ἡ τριτοπροσωποῦσα σύνθετος σπανιώτατα ἐν πρώτῳ προσώπῳ ἥκει εἰς χρῆσιν· ἐνταῦθα δὲ μάλιστα διὰ τὸ ἀδιόριστον, καὶ οἷον ἐν τρίτῳ προσώπῳ ἐκφέρεσθαι τὸν λόγον. — 8. Ἐν ἑαυτῷ.) Ὡς ἀνωτέρω. — 9. Τῇ φιλοσοφίᾳ τὴν κενοδοξίαν.) Τὴν φιλοσοφίαν δηλ. καλοῦντες κενοδοξίαν ὑπὸ φθόνου κινούμενοι, καὶ τῆς κακίας τῶν πολλῶν.

ἔπαθον δ᾽ οὖν. Ἠσχύνθην ὑπὲρ τῶν ἄλλων, ὅσοι μηδὲν τῶν πολλῶν ὄντες βελτίους, (μέγα μὲν οὖν,[2] εἰ καὶ μὴ πολλῷ χείρους·) ἀνίπτοις χερσὶν,[3] ὃ δὴ λέγεται, καὶ ἀμυήτοις ψυχαῖς, τοῖς ἁγιωτάτοις ἑαυτοὺς ἐπεισάγουσι· καὶ πρὶν ἄξιοι γενέσθαι προσιέναι τοῖς ἱεροῖς, μεταποιοῦνται τοῦ βήματος, θλίβονταί τε καὶ ὠθοῦνται περὶ τὴν ἁγίαν τράπεζαν, ὥσπερ οὐκ ἀρετῆς τύπον, ἀλλ᾽ ἀφορμὴν βίου τὴν τάξιν ταύτην εἶναι νομίζοντες, οὐδὲ λειτουργίαν ὑπεύθυνον,[4] ἀλλ᾽ ἀρχὴν ἀνεξέταστον. Καὶ εἰσι σχεδόν τι πλείους κατ᾽ ἀριθμὸν, ἢ ὁπόσων ἄρχουσι· δείλαιοι τῆς εὐσεβείας![5] καὶ ἄθλιοι τῆς λαμπρότητος! Ὥστε ἔμοιγε δοκοῦσι προϊόντος τοῦ χρόνου καὶ τοῦ κακοῦ, μηδὲ ἔχειν λοιπὸν, ὧν ἄρξουσι, πάντων διδασκόντων, ἀντὶ τοῦ διδακτοὺς εἶναι[6] Θεοῦ, ὥς φησιν ἡ ἐπαγγελία· καὶ πάντων προφητευόντων, ὥστε εἶναι καὶ Σαοὺλ[7] ἐν προφήταις, κατὰ τὴν παλαιὰν ἱστορίαν καὶ παροιμίαν. Οὐδὲν γὰρ οὕτω πολὺ κατ᾽ οὐδένα καιρὸν οὔτ᾽ ἔστιν, οὔτ᾽ ἐγένετο, ἄλλοτε ἄλλων ἀκμασάντων τε καὶ ληξάντων, ὡς νῦν Χριστιανοῖς τὰ τοιαῦτα καὶ ὀνείδη καὶ ἁμαρτήματα. Ὧν εἰ καὶ στῆσαι τὴν φορὰν κρεῖσσον ἢ καθ᾽ ἡμᾶς, ἀλλὰ τόγε μισεῖν καὶ αἰσχύνεσθαι, μέρος εὐσεβείας οὐ τὸ σμικρότατον.

§ 7. Ὁ δὲ τελευταῖον[2] καὶ μεῖζον τῶν εἰρημένων, (εἶμι γὰρ ἐπ᾽ αὐτὸν ἤδη τὸν Κολοφῶνα[3] τοῦ λόγου καὶ οὐ ψεύσομαι· οὐδὲ γὰρ θέμις, τοῖς περὶ τηλικούτων ποιουμένοις τὸν λόγον[4]) οὐκ ᾤμην ἴσον εἶναι, οὐδὲ νῦν οἴομαι, ποίμνης ἄρχειν, ἢ βουκολίου,[5] καὶ ἀνθρώπων ἐπιστατεῖν ψυχαῖς. Ἐκεῖ μὲν γὰρ ἐξαρκεῖν[6] ὅτι παχύτατον καὶ πιότατον ἀποδεῖξαι τὸ βουκόλιον ἢ τὸ ποίμνιον· καὶ πρὸς τοῦτο ὁρῶν ὅ,τε βουκόλος καὶ ὁ ποιμὴν, τῶν τε χωρίων ἐπισκέψεται τὰ ἔνυδρα καὶ ἐπίνομα, εἰσελάσει[7] τε καὶ ἐξελάσει ἀπό τε νομῶν καὶ ἐπὶ νομὰς, ἀναπαύσει τε καὶ ἀποκινήσει, καὶ

---

§ 6. 2. Μέγα μὲν οὖν.) Παράδοξον δ᾽ ἂν εἴη, ἐὰν μὴ ὦσι καὶ τῶν πολλῶν χείρους πολλῷ. — 3. Ἀνίπτοις χερσίν.) Παροιμία ἐπὶ τῶν ἐῤῥυπωμένων καὶ κατεγνωσμένων· ἔτι δὲ καὶ κατατολμώντων ἱερᾶσθαι. — 4. Λειτουργίαν ὑπεύθυνον.) Οἷον δουλείαν τινὰ εὐθύνας τῶν διῳκημένων διδοῦσαν. — 5. Τῆς εὐσεβείας.) Ἧς δηλαδὴ ὑποκρίνονται εὐσεβείας ἕνεκα. — 6. Διδακτοὺς εἶναι.) Ἡσαΐας· δ᾽. 13. — 7. Καὶ Σαούλ.) Φέρεται ἐν ταῖς βίβλοις τῶν βασιλειῶν Α᾽. ι. 12. ιθ᾽. 24. καὶ αὐτὸν προφητεῦσαι Σαοὺλ τὸν παμβέβηλον, ἐξ οὗ καὶ σχετλιάζοντάς τινας διὰ τὸ ἀνάξιον αὐτοῦ ἀναβοῆσαι. Τῆς ἀτοπίας! ἢ καὶ Σαοὺλ ἐν προφήταις κατηρίθμηται! καὶ ἔστι παροιμία, ἐπὶ τῶν ἀναξίως διδάσκειν, ἢ ἄλλο τι τῶν ὑπὲρ αὐτοὺς ποιεῖν ἐπιχειρούντων.

§ 7. 2. Ὁ δὲ τελευταῖον.) Αἴτιον δηλ. τῆς ἀπειθείας. — 3. Τὸν Κολοφῶνα) Ἐκ παροιμίας ἐπὶ τῶν μεγάλων καὶ ἀναντιῤῥήτων καὶ μεγάλην ἰσχὺν ἐχόντων λεγομένης· Ἱστόρηται γὰρ, ὡς τῶν ἐν Ἀσίᾳ πόλεων ἐκκλησιαζουσῶν, καὶ ψήφους καταβαλλομένων, μηδὲν τέως ἰσχύειν αὐτὰς, εἰ μὴ ἡ τοῦ Κολοφῶνος κατακλιθεῖσα τὸ κῦρος τοῖς ἐψηφισμένοις ἐδίδου. Βασίλ. Σχολιαστ. — 4. Ποιουμένοις τὸν λόγον) Λέγουσι δηλ. —5. Ποίμνης ἄρχειν, ἢ βουκολίου.) Ποίμνη μὲν γὰρ ἡ τῶν προβάτων, καὶ ποιμὴν ὁ ἐπιμελούμενος· βουκόλιον δὲ καὶ βουκόλος, ὁ τῶν βοῶν. Διὸ καὶ συνεχῶς παρατίθησι καταλλήλως, ἑκάτερα ἑκατέρῳ ἀποδιδοὺς καὶ συντάττων. — 6. Ἐξαρκεῖν.) Ἀπὸ τοῦ οἴομαι. — 7. Εἰσελάσει.) Ἀττικὸν τὸ σχῆμα.

ΙΩΑΝΝΙΝΑ 2006

ἀνακαλέσει, ὀλίγα μὲν τῇ βακτηρίᾳ, τὰ πολλὰ δὲ τῇ σύριγγι.
Ἄλλο δὲ οὐδὲν ἔργον εἶναι[8] τῷ ποιμένι ἢ τῷ βουκόλῳ, πλὴν
ὅσον βραχέα προσπολεμῆσαι τοῖς λύκοις, καί που τι καὶ ἀῤῥω-
στοῦν ἐπισκέψασθαι· τὰ πολλὰ δὲ αὐτῷ μελήσει δρῦς καὶ
σκιά,[9] καὶ Δόνακες, καὶ ἐν καλῷ τῆς πόας κατακλιθῆναι,
καὶ παρὰ ψυχρὸν ὕδωρ, καὶ ὑπὸ ταῖς αὔραις σχεδιά-
σαι στιβάδα,[10] καί πού τι καὶ ἐρωτικὸν[11] ᾆσαι μετὰ τοῦ κισσυ-
βίου, καὶ προσλαλῆσαι ταῖς βουσὶν ἢ τῇ ποίμνῃ, καὶ τούτων αὐ-
τῶν ἐθοινίσασθαι ἢ ἀποδόσθαι τὸ πιότατον. Ἀρετῆς δὲ οὐδείς πω
ποιμνίων ἢ βουκολίων ἐφρόντισε. Τίς γὰρ ἀρετὴ τούτων; ἢ τίς ὃς
τὸ ἐκείνοις καλὸν πρὸ τῆς ἰδίας ἡδονῆς ἐσκέψατο; Ἀνθρώπῳ δέ,[12]
χαλεποῦ ὄντος τοῦ εἰδέναι ἄρχεσθαι, κινδυνεύει πολλῷ χαλεπώ-
τερον εἶναι τὸ εἰδέναι ἄρχειν ἀνθρώπων· καὶ μάλιστα δὴ ἀρ-
χὴν ταύτην τὴν ἡμετέραν, τὴν ἐν νόμῳ θείῳ, καὶ πρὸς Θεὸν ἄ-
γουσαν· ἧς ὅσον τὸ ὕψος καὶ τὸ ἀξίωμα, τοσοῦτος καὶ ὁ κίν-
δυνος τῷ γε νοῦν ἔχοντι. Ὅν γε πρῶτον μὲν δεήσει καθάπερ ἀρ-
γύριον, ἢ χρυσίον πανταχόθεν στρεφόμενον, καὶ ἐν παντοίοις καιροῖς
καὶ πράγμασι, μηδαμοῦ κίβδηλον ἠχεῖν, ἢ ὑπόχαλκον,[13] μηδέ τι
φέρειν ἐν ἑαυτῷ ὕλης τῆς χείρονος, καὶ θερμοτέρου πυρὸς[14]
ἀξίας. Ἢ τοσούτῳ μείζων ἔσται τὸ κακόν, ὅσῳ περ ἂν ἀρχὴ πλειό-
νων· εἴπερ καὶ μείζων τῆς περὶ ἕνα ἱσταμένης πονηρίας ἡ εἰς πολ-
λοὺς ὁδεύουσα. Οὐ γὰρ οὕτως οὔτε δευσοποιοῦ βαφῆς[15] μεταλαμ-
βάνει ῥᾳδίως ὕφασμα, οὔτε δυσωδίας ἢ τοὐναντίου τὸ πλησιά-
σαι, οὔτε νοσερά τις[16] οὕτως εὐκόλως ἀναχεῖται εἰς τὸν ἀέρα,
καὶ διὰ τοῦ ἀέρος ὁμιλεῖ τοῖς ζῶσιν ἀτμίς, (ὃ δὴ λοιμός ἐστί τε

---

Εἰσελάσει X ἐξελάσει
ἀπὸ νομῶν X ἐπὶ νομάς.

Καὶ οἱ σύνδεσμοι περιεπλέχθησαν διὰ τὸ σχῆμα· ἔδει γὰρ εἰπεῖν. Ἐξελάσει τε ἀπὸ νομῶν καὶ εἰσελάσει ἐπὶ νομάς. — 8. Εἶναι.) Ἀπὸ τοῦ Οἴομαι. — 9. Δρῦς καὶ σκιά.) Δρυὸς δηλ. σκιά· δόνακες δὲ κάλαμοι, ἐξ ὧν αἱ σύριγγες· — 10. Στιβάδα.) Κοίτην αὐτοσχέδιον ποιῆσαι ἐκ χόρτου καὶ καλάμων λεπτῶν συμφορηθέντων ὑπὸ ταῖς αὔραις καὶ τοῖς πνεύμασιν ὑποστορέσαντα. — 11. Καί πού τι καὶ ἐρωτικόν.) Ἤτοι ἐρωτικὸν ἑαυτῷ ἢ καὶ βουσὶ καὶ προβάτοις· λέγεται γὰρ εἶναι τοιαῦτα ᾄσματα κινητικὰ εἰς Ἀφροδίτην βοῶν τε καὶ ἵππων ὃ καὶ ἱπποθόρον καλοῦσι· καὶ ἑτέρων ζώων ὁμοίως. Βασιλ. Σχολιαστ. Σημείωσαι δὲ ὅτι ταῦτα πρὸς τὸ πρῶτον ἀναφέρεται ἰδύλλιον τῶν τοῦ Θεοκρίτου βουκολικῶν ἔνθα Αἰπόλον ποιεῖ δεόμενον Θύρσιδος ᾆσαι, καὶ δώσοντα αὐτῷ αἶγα διδυματόκον καὶ βαθύ τι κισσύβιον, ξύλινον ἔκπωμα ἔν. στίχ. 21. — 12. Ἀνθρώπῳ δέ.) Ταῦτα δὲ ἀπὸ τοῦ Ξενοφῶντος προοιμίου ἐν τῷ Κύρου παιδείας παραμεμόρφωται. — 13. Κίβδηλον . . . ἢ ὑπόχαλκον.) Μεταφορικῶς ἀπὸ τῶν ἀδοκίμων νομισμάτων· οἷς Ἀθηναῖοι μίσει τῷ πρὸς τοὺς Χίους τῷ X στοιχείῳ ἐπέγραφον, καὶ τῷ δακτύλῳ ἀνακρούοντες ἐτεκμαίροντο ἤχῳ τὸ εὔροιζόν τε καὶ δόκιμον ἀπὸ τοῦ ἀδοκίμου χρυσίου καὶ ἀργύρου. Βασιλ. Σχολιαστ. — 14. Θερμοτέρου πυρός.) Παρ' ὅσον καὶ χωνείᾳ καθαίρεται χρυσὸς διὰ πυρὸς θερμοτέρου. — 15. Δευσοποιοῦ βαφῆς.) Τῆς μὴ ἐξιτήλου, ἀλλὰ βαθείας καὶ δυσεξαλείπτου, σωζούσης μέχρι καὶ τελείας τριβῆς τοῦ ὑφάσματος τὸ ἄνθος. — 16. Οὔτε νοσερά τις.) Φασὶ τὰ λοιμώδη γίνεσθαι πάθη ἐκ νοσερᾶς ἀτμίδος,

καὶ ὀνομάζεται·) ὡς φιλεῖ τάχιστα τῆς τοῦ προεστῶτος κακίας ἀναπίμπλασθαι τὸ ὑπήκοον, καὶ πολλῷ γε ῥᾷον[17] ἢ τοῦ ἐναντίου τῆς ἀρετῆς. Τοῦτο γάρ ἐστιν ὃ μάλιστα[18] πλεονεκτεῖ τὴν καλοκαγαθίαν ἡ πονηρία· καὶ ὃ μάλιστα ἐγὼ δυσχεραίνω κατανοῶν, ὅτι εὐζήλωτον μέντοι καὶ πρόχειρον πρᾶγμα ἡ μοχθηρία, καὶ οὐδὲν οὕτω ῥᾴδιον, ὡς τὸ γενέσθαι κακόν· καὶ εἰ μὴ τύχοι πρὸς ταύτης ἡμᾶς ἄγων μηδείς· σπάνιον δὲ ἡ τοῦ ἀγαθοῦ κτῆσις καὶ πρόσαντες, κἂν εἰ πολὺ τὸ μεθέλκον εἴη καὶ προκαλούμενον. Καὶ τοῦτό ἐστιν, ὅ μοι δοκεῖ καὶ ὁ μακαριώτατος Ἀγγαῖος κατανοήσας, ἐπὶ τὴν θαυμασίαν ἐκείνην ἐλθεῖν καὶ ἀληθεστάτην εἰκόνα. »Ἐρωτήσατε[19] ἱερεῖς νόμον, λέγων, εἰ κρέας[20] ἅγιον ἐν ἱματίῳ βρωτοῦ τινος, ἢ ποτοῦ, ἢ σκεύους ἀψάμενον, εὐθὺς ἁγιάσει τὸ πλησιάσαν; Τῶν δὲ ἀποφησάντων· Ἐρωτήσατε πάλιν, εἰ καὶ ἀκαθαρσία τούτων τι προσομιλήσαν, μὴ παραχρῆμα μετέλαβε τοῦ »μιάσματος;« Ὡς ἐρούντων γε μεταλαμβάνειν, καὶ μὴ καθαρὸν μένειν τῇ κοινωνίᾳ. Τί τοῦτο λέγων;[21] Ὅπερ ὁ ἐμὸς λόγος, ὅτι δυσληπτον μὲν τὸ ἀγαθὸν τῇ ἀνθρωπίνῃ φύσει, ὥσπερ καὶ πῦρ ὕλῃ τῇ ὑγροτέρᾳ· ἕτοιμοι δὲ πρὸς τὴν τοῦ κακοῦ μετουσίαν οἱ πλεῖστοι καὶ ἐπιτήδειοι. Καλάμη τις[22] πρὸς σπινθῆρα, οἶμαι, καὶ ἄνεμον ῥᾳδίως ἐξαπτομένη, καὶ δαπανωμένη διὰ ξηρότητα· θᾶττον γὰρ ἄν τις ὀλίγης κακίας μεταλάβῃ πλουσίας, ἢ ἀρετῆς βαθείας κατὰ μικρόν. Ἐπεὶ καὶ μέλιτι[23] μὲν, μικρὸν ἀψίνθιον τάχιστα μεταδίδωσι τοῦ πικροῦ· μέλι δὲ οὐδὲ τὸ διπλάσιον ἀψινθίῳ τῆς ἑαυτοῦ γλυκύτητος. Καὶ μικρὰ μὲν ὑποσπασθεῖσα[24] ψηφὶς, ποταμὸν ὅλον ἑλκύσειεν ἂν ἐπὶ τὸ πρανὲς, ἐπισχεῖν δὲ ἢ ἀνακόψαι μόλις ἂν δυνηθείη καὶ τὸ καρτερώτατον ἔρυμα.

§ 8. Πρῶτον μὲν δὴ τοῦτο, ὧν εἴπομεν, εὐλαβεῖσθαι ἄξιον, μὴ φαινώμεθα[2] τῆς θαυμασίας ἀρετῆς κακοὶ ζωγράφοι,[3] μᾶλλον δὲ ζωγράφων οὐ φαύλων ἴσως, τῶν δὲ πολλῶν φαῦλον ἀρχέτυ-

---

εἰς ἀέρα ἀναλυομένης, τοῖς τὸν τοιοῦτον ἀναπνέουσιν ἀέρα ζώοις. — 17. Καὶ πολλῷ γε ῥᾷον.) Ἐμπίπλαται τὸ ὑπήκοον τῆς τοῦ προεστῶτος κακίας, ἢ ἐμπίπλαται τοῦ ἐναντίου τῆς ἀρετῆς δηλ. — 18. Τοῦτο γάρ ἐστιν ὃ μάλιστα.) Ὅθεν καὶ Ἡσίοδος φησὶν ἐν Ἔργοις στίχ. 287.

Τὴν μὲν κακότητα καὶ ἰλαδὸν ἐστὶν ἑλέσθαι
Ῥηϊδίως· ὀλίγη μὲν ὁδὸς, μάλα δ' ἐγγύθι ναίει.
Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
Ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτήν.

— 19. Ἐρωτήσατε.) Ἀγγ. β' 11... 13. — 20. Εἰ κρέας.) Τὸ ἐν ταῖς θυσίαις ἁγιαζόμενον λέγει κρέας. — 21. Τί τοῦτο λέγων.) Τί ἐννοεῖ, τοῦτο λέγων; Ὅπερ δηλοῖ καὶ ὁ ἐμὸς λόγος. — 22. Καλάμη τις.) Καὶ εἰσιν ὥσπερ καλάμη κτλ. — 23. Ἐπεὶ καὶ μέλιτι.) Κατασκευαστικὸν τῶν προειρημένων. — 24. Ὑποσπασθεῖσα.) Ἀπό τινος ἐρύματος δηλαδή.

§ 8. 2. Μὴ φαινώμεθα.) Ἵνα μὴ φαιν. Καὶ ἔστι κατ' ἀνάλυσιν ἀπαρεμφάτου ὀνοματικοῦ ἀντὶ τοῦ, Τὸ μὴ φαίνεσθαι. — 3. Κακοὶ ζωγράφοι.) Τῷ λό-

ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΑΧΕΙΡΙΣΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΠΙΣΤΗΜΗΣ ΤΩΝ ΝΕΩΤΕΡΩΝ ΧΡΟΝΩΝ
ΕΥ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

που·[4] ἢ τῆς παροιμίας μὴ πόῤῥω θέωμεν, ἄλλους ἰατρεύειν ἐπιχειροῦντες, αὐτοὶ βρύοντες ἕλκεσι. Δεύτερον δὲ,[5] εἰ καί τις ἁγνὸν ἑαυτὸν ἀπὸ πάσης ἁμαρτίας τηρήσειεν· ἢ ὡς μάλιστα[6] οὐκ οἴδαμεν εἰ καὶ τοῦτο αὔταρκες τῷ μέλλοντι τοὺς ἄλλους παιδεύειν πρὸς ἀρετήν. Οὐ γὰρ μὴ κακὸν εἶναι δεῖ μόνον τὸν τούτῳ πεπιστευμένον (τοῦτο μὲν γὰρ καὶ τῶν ὑπὸ χεῖρα τοῖς πολλοῖς αἴσχιστον·) ἀλλὰ καὶ τῷ ἀγαθῷ διαφέροντα κατὰ τὴν,[7] Ἐκκλίνειν ἀπὸ κακοῦ, καὶ ποιεῖν ἀγαθὸν, κελεύουσαν ἐντολήν. Οὐ δὲ τοὺς φαύλους ἐξαλεῖψαι[8] τῆς ψυχῆς τύπους μόνον, ἀλλὰ καὶ τοὺς ἀμείνους ἐγγράψασθαι,[9] ὡς πλέον κατ᾽ ἀρετὴν προσέχειν, ἢ ὁπόσον περίεστιν[10] ἀξιώματι. Καὶ μηδὲν μέτρον εἰδέναι τοῦ καλοῦ, καὶ τῆς ἀναβάσεως, μηδὲ κέρδος μᾶλλον τὸ κρατηθὲν, ἢ ζημίαν τὸ διαφεῦγον. Ἀλλ᾽ ἐπίβασιν[11] ἀεὶ ποιεῖσθαι τὸν ἐν τοῖς ποσὶ τῶν ἑξῆς, καὶ μὴ μέγα νομίζειν, ἂν τῶν πολλῶν διαφέρωμεν, ἀλλὰ ζημίαν ἂν τῆς ἀξίας ἀπολειπώμεθα. Καὶ τῇ ἐντολῇ παραμετρεῖν,[12] μὴ τῷ πέλας τὸ κατορθούμενον, ἄντε ὦσι κακοὶ, ἄντε ἀρετῆς ἐπὶ πόσον ἥκοντες· καὶ μὴ μικροῖς σταθμοῖς ταλαντεύειν τὴν ἀρετὴν, τῷ μεγίστῳ καὶ παρ᾽ οὗ τὰ πάντα, καὶ εἰς ὃν τὰ πάντα χρεωστουμένην. Μηδὲ τὰ αὐτὰ πᾶσιν ἁρμόζειν οἴεσθαι, (ὥσπερ οὐδὲ ἡλικίαι πᾶσιν αἱ αὐταὶ, οὐδὲ προσώπων χαρακτῆρες, οὐδὲ ζώων φύσεις, οὐδὲ γῆς ποιότητες, οὐδὲ κάλλη τε καὶ μεγέθη λαμπτήρων·) ἀλλ᾽ ἡγεῖσθαι ἰδιώτου μὲν εἶναι κακίαν, τὸ φαῦλα πράσσειν· καὶ ὅσα κολάσεως ἄξια, ὧν καὶ ὁ νόμος βραδὺς δεσπότης· ἄρχοντος δὲ ἢ προεστῶτος,[13] τὸ μὴ ὡς ἄριστον εἶναι, καὶ ἀεὶ τῷ καλῷ προβαίνοντα, εἴπερ μέλλοι τῷ περιόντι[14] τῆς ἀρετῆς ἕλξειν τοὺς πολλοὺς εἰς τὸ μέτριον καὶ μὴ βίᾳ καθείρξειν, ἀλλὰ πειθοῖ προσάξεσθαι. Τὸ μὲν γὰρ ἀκούσιον πρὸς τὸ τυραννικὸν εἶναι καὶ οὐκ ἐπαινετὸν, οὐδὲ μόνιμον· φιλεῖ γὰρ τὸ βιασθὲν, ὥσπερ φυτὸν βίᾳ χερσὶ μετασπώμενον, ἐν ἑαυτῷ πάλιν ἀφεθὲν ἀνατρέχειν· τὸ δὲ ἐκ προαιρέσεως, ἐννομώτατόν τε ἅμα

γῳ δηλ. καὶ τῇ πράξει. — 4. Φαῦλον ἀρχέτυπον) Γενόμενοι φαῦλον πρωτότυπον καὶ παράδειγμα τῶν πολλῶν. — 5. Δεύτερον δὲ.) Ἐνταῦθα διεξέρχεται τὰ ἰδιώματα, ὅσα δεῖ ἔχειν τοὺς τὰς ψυχὰς ἰθύνειν πιστευθέντας. — 6. Ἢ ὡς μάλιστα) Σφόδρα μάλιστα οὐκ ἀρκεῖ τὸ ἁγνὸν ἁπλῶς ἀπὸ πάσης ἁμαρτίας τηρεῖν ἑαυτόν· τὸ γὰρ Ἢ βεβαιωτικὸν, τὸ δὲ Ὡς ἐπιτατικόν. — 7. Κατὰ τήν) Ψαλμ. λς΄. 27. — 8. Ἐξαλεῖψαι.) Ἀπὸ κοινοῦ τὸ Δεῖ. — 9. Ἐγγράψαι.) Τῇ ψυχῇ. — 10. Ἢ ὁπόσον περίεστι.) Τίς δηλ. τὸ γὰρ ὁπόσον ἀνώρθωσε τὸν λόγον· οἷον. Ἢ καθ᾽ ὁπόσον ὑπερέχει τὶς ἐν τῷ ἀξιώματι. — 11. Ἀλλ᾽ ἐπίβασιν.) Τὸ ἐν ποσὶ καὶ ἤδη πεπραγμένον οἱονεὶ βαθμόν τινα ποιεῖσθαι τῶν ἐφεξῆς. — 12. Παραμετρεῖν.) Τοῦτ᾽ ἔστιν ἀντιμετρεῖν, ἐξισοῦν τὸ κατορθούμενον εἰς ὅσον ἡ ἐντολὴ ἀπαιτεῖ ἡμῖν, ἀλλὰ μὴ πρὸς τοὺς πλησίον ὁρᾷν, εἰ καὶ μάλιστα εἶεν κακοὶ ἢ καὶ ὁποσοῦν σπουδαῖοι. — 13. Ἄρχοντος δὲ ἢ προεστῶτος.) Κακίαν εἶναι ἡγεῖσθαι. — 14. Τῷ περιόντι.) Τῇ ὑπε-

καὶ ἀσφαλέστατον, εὐνοίας δεσμῷ τηρούμενον. Ὅθεν δὴ καὶ μάλιστα ποιμαίνειν τὸ ποίμνιον ἑκουσίως, ἀλλὰ μὴ ἀναγκαστῶς,[15] ὁ ἡμέτερος διακελεύεται νόμος, καὶ νομοθέτης.

§ 9. Ἀλλ' ἔστω τις μήτε κακὸς, καὶ ἀρετῆς ἥκων εἰς τὸ ἀκρότατον·[2] οὐχ ὁρῶ τίνα λαβὼν ἐπιστήμην, ἢ ποίᾳ δυνάμει πιστεύσας, ταύτην ἂν θαῤῥοίη τὴν προστασίαν. Τῷ ὄντι γὰρ αὕτη μοι φαίνεται τέχνη τις εἶναι τεχνῶν,[3] καὶ ἐπιστήμη ἐπιστημῶν, ἄνθρωπον ἄγειν, τὸ πολυτροπώτατον τῶν ζώων, καὶ ποικιλώτατον. Γνοίη δ' ἄν τις,[4] τῇ τῶν σωμάτων θεραπείᾳ τὴν τῶν ψυχῶν ἰατρείαν ἀντεξετάσας, καὶ ὅσῳ μὲν ἐργώδης ἐκείνη καταμαθὼν, ὅσῳ δὲ ἡ καθ' ἡμᾶς ἐργωδεστέρα προσεξετάσας, καὶ τῇ φύσει τῆς ὕλης, καὶ τῇ δυνάμει τῆς ἐπιστήμης, καὶ τῷ τέλει τῆς ἐνεργείας τιμιωτέρα. Ἡ μὲν[5] γὰρ περὶ σώματα πονεῖται, καὶ τὴν ἐπίκηρον ὕλην καὶ κάτω ῥέουσαν, πάντως λυθησομένην καὶ πεισομένην τὸ ἑαυτῆς· κἂν νῦν τῇ συμμαχίᾳ τῆς τέχνης κατακρατήσῃ τῆς ἐν αὐτῇ στάσεως, ἢ γὰρ νόσος, ἢ χρόνος ἔλυσεν, εἴξασαν τῇ φύσει, καὶ τοὺς ἰδίους ὅρους οὐχ ὑπερβαίνουσαν. Τῇ δὲ,[6] περὶ ψυχὴν ἡ σπουδὴ, τὴν ἐκ Θεοῦ θείαν,[7] καὶ τῆς ἄνωθεν εὐγενείας μετέχουσαν, καὶ πρὸς ἐκείνην ἐπειγομένην, εἰ καὶ τῷ χείρονι συνεδέθη· τάχα μὲν καὶ δι' ἄλλας αἰτίας, ἃς μόνος οἶδεν ὁ συνδήσας Θεὸς, καὶ εἴ τις ἐκ Θεοῦ τὰ τοιαῦτα ἐσοφίσθη μυστήρια. Ὅσον δὲ οὖν ἐμὲ[8] γινώσκειν, καὶ τοὺς κατ' ἐμὲ, δυοῖν ἕνεκεν. Ἑνὸς μὲν, ἵνα δι' ἀγῶνος καὶ πάλης τῆς πρὸς τὰ κάτω, τῆς ἄνω δόξης κληρονομήσειεν· ὥσπερ χρυσὸς τῷ πυρὶ, τοῖς τῇδε βασανισθεῖσα, καὶ ἀρετῆς ἆθλον, ἀλλὰ μὴ Θεοῦ δῶρον μόνον ἔχῃ τὰ ἐλπιζόμενα. Καὶ τοῦτο δὲ ἦν ἄρα τῆς ἄκρας ἀγαθότητος, ποιῆσαι τὸ ἀγαθὸν καὶ ἡμέτερον, οὐ φύσει μόνον κατασπειρόμενον· ἀλλὰ καὶ προαιρέσει γεωργούμενον, καὶ τοῖς ἐπ' ἄμφω[9] τοῦ αὐτεξουσίου κινήμασιν. Ἑτέρου δὲ πάλιν, ὡς ἂν καὶ τὸ χεῖρον ἑλκύσειε πρὸς ἑαυτὴν καὶ

ροχῇ δηλ. τῆς ἀρετῆς. — 15. Ἑκουσίως, ἀλλὰ μὴ ἀναγκαστῶς.) Πέτρ. Α'. ε', 2. »Ποιμαίνεται τὸ ἐν ὑμῖν ποίμνιον τοῦ »Θεοῦ, ἐπισκοποῦντες, μὴ ἀναγκαστῶς, »ἀλλ' ἑκουσίως· μηδὲ αἰσχροκερδῶς, ἀλ»λὰ προθύμως· μηδ' ὡς κατακυριεύοντες »τῶν κλήρων, ἀλλὰ τύποι γενόμενοι τοῦ »ποιμνίου«.

§ 9. 2. Ἥκων εἰς τὸ ἀκρότατον.) Οὐδὲ ὁ εἰς ἄκρον ἀρετῆς ἥκων, σαφῶς εἰδέναι οἷός τέ ἐστι ψυχῶν ἀνθρωπίνων τὰς καταστάσεις τυποῦν. — 3. Τέχνη.... τεχνῶν.) Ὅπερ περὶ φιλοσοφίας εἴρηται τισι. — 4. Γνοίη δ' ἄν τις.) Σύγκρισιν ποιεῖ σωμάτων ἰατρείας, καὶ ψυχῶν θεραπείας, καὶ ὅσον ἑκατέρων τὸ διάφορον, τῇ τε φύσει τοῦ ὑποκειμένου, καὶ τῇ δυνάμει τῆς ἐπιστήμης, καὶ τῷ τέλει τῆς ἐνεργείας. — 5. Ἡ μέν.) Ἰατρεία. — 6. Τῇ δέ.) Θεραπεία. — 7. Τὴν ἐκ Θεοῦ θείαν.) »Πλάσας γὰρ ὁ Θεὸς τὸν ἄν»θρωπον ἐκ χοὸς, ἐνεφύσησεν εἰς τὸ »πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ »ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶ»σαν«. Γενέσ. Β', 7. »Καὶ ἐποίησεν ὁ Θεὸς »τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίη»σεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν »αὐτούς«. Γενέσ. Α'. 27. — 8. Ὅσον δὲ οὖν ἐμέ.) Γνώμην ἰδίαν λέγει διὰ τὴν σύζευξιν ψυχῆς μετὰ σώματος. — 9. Ἐπ' ἄμφω.) Ἐπί τε τὸ ἀγαθὸν καὶ κακόν.

ἄνω Θείη,[10] λύσασα κατὰ μικρὸν τῆς παχύτητος, ἵν᾽ ὅπερ ἐστὶ Θεός[11] ψυχῇ, τοῦτο ψυχὴ σώματι γένηται, παιδαγωγήσασα δι᾽ ἑαυτῆς τὴν ὑπηρέτιν ὕλην, καὶ οἰκειώσασα Θεῷ τὸ ὁμόδουλον.

§ 10. Χώρας, καὶ καιρούς, καὶ ἡλικίας, καὶ ὥρας, καὶ τὰ τοιαῦτα ὁ ἰατρὸς ἐπισκέψεται, φαρμακεύσει τε καὶ διαιτήσει, καὶ τηρήσει τὰ βλαβερά, ὡς ἂν μὴ ἀντιβῆναι τῇ τέχνῃ τὰς τῆς ἀῤῥωστίας ἐπιθυμίας. Καί που καὶ καύσεσι, καὶ τομαῖς, καὶ τοῖς αὐστηροτέροις τῆς θεραπείας, ἔστιν ὅτε, καὶ ἐφ᾽ ὧν[2] χρήσεται. Ὧν οὔπω τοσοῦτον οὐδέν,[3] κἂν ἐπίπονα σφόδρα καὶ χαλεπὰ φαίνηται, ὅσον ἤθη, καὶ πάθη, καὶ βίους, καὶ προαιρέσεις, καὶ εἴτι ἄλλο τοιοῦτον τῶν ἐν ἡμῖν κατοπτεῦσαί τε καὶ ἰατρεῦσαι, καί, πᾶν ὅσον θηριῶδες, καὶ ἄγριον ἐξορίσαντας τῆς συζυγίας τῆς ἡμετέρας, πᾶν ὅσον ἥμερον, καὶ Θεῷ φίλον, ἀντεισαγαγεῖν τε καὶ βεβαιώσασθαι. Καὶ βραβεῦσαι δικαίως ψυχῇ τε καὶ σώματι, μὴ τῷ χείρονι τὸ κρεῖττον δυναστεύεσθαι συγχωρήσαντας, ἥπερ ἀδικιῶν[4] ἡ μεγίστη, τῷ δὲ ἄρχοντι καὶ ἡγεμονικῷ τὸ τῇ φύσει δεύτερον ὑποτάξαντας, ὅσπερ δὴ νόμος[5] θεῖος, καὶ κάλλιστα ἔχων ἐπὶ πάσης αὐτοῦ τῆς κτίσεως, ὅση τε ὁρατή, καὶ ὅση ὑπὲρ τὴν αἴσθησιν. Σκοπῶ δὲ κἀκεῖνο, ὅτι ἐκείνων μέν, ὧν ἀπηριθμησάμην[6] ἕκαστον, ὡς τῷ θεραπευτῇ τηρούμενον,[7] ὅπως ἔχῃ φύσεως, οὕτω μένει, καὶ οὐδὲν ἀντιτεχνᾶται παρ᾽ ἑαυτοῦ πανούργως, οὐδὲ ἀντισοφίζεται τοῖς παρὰ τῆς τέχνης προσαγομένοις, ἀλλὰ καὶ περιΐστησι μᾶλλον τὴν ὕλην ἡ ἰατρεία, πλὴν εἴπου βραχεῖά τις παρεμπέσοι τοῦ κάμνοντος ἀταξία, ἣν καὶ φυλάξαι καὶ ἀνακόψαι οὐ χαλεπόν. Ἡμῖν δὲ ἡ σύνεσις,[8] καὶ τὸ φίλαυτον καὶ τὸ νικᾶσθαι ῥᾳδίως μήτε εἰδέναι, ἀνέχεσθαι, μέγιστον πρὸς ἀρετήν ἐστιν ἐμπόδιον· καὶ οἷόν τις παράταξις κατὰ

—10. Καὶ ἄνω Θείη.) Ἐν γὰρ τῇ δευτέρᾳ τοῦ Κυρίου παρουσίᾳ πάντες ἀναστήσονται ἄφθαρτοι, ὡς φησὶ Παῦλος Πρὸς Κορινθ. Α΄, ιέ. 52. καὶ οἱ μὲν τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν ἐκπορεύσονται κρίσεως· ὡς φησὶν ὁ Κύριος· Ἰωάν. έ. 29. καὶ οἱ μὲν ἁμαρτωλοὶ ἀπελεύσονται εἰς κόλασιν αἰώνιον, οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον· Ματθ. κέ. 48. —11. Ἵν᾽ ὅπερ ἐστὶ Θεός.) Κατ᾽ ἀναλογίαν λέγει, ὥσπερ Θεὸς παιδαγωγῶν ἕλκει πρὸς ἑαυτὸν τὴν ψυχήν· οὕτω καὶ ἡ ψυχὴ τὸ σῶμα.

§ 10. 2. Ἔστιν ὅτε, καὶ ἐφ᾽ ὧν.) Κατὰ τὸν προσήκοντα καιρόν, καὶ κατὰ τὰ διάφορα πρόσωπα καὶ νοσήματα. — 3. Οὔπω τοσοῦτον οὐδέν.) Δυσχερὲς δηλ. καὶ ἐπίπονον, καὶ χαλεπόν· ὅσον ἐστὶ δυσχερὲς καὶ ἐπίπονον καὶ χαλεπὸν τὸ κατοπτεῦσαί τε καὶ ἰατρεῦσαι ἤθη καὶ πάθη καὶ τλ. — 4. Ἥπερ ἀδικιῶν.) Ὅπερ ἐστὶ μεγίστη ἀδικία· μετέλαβε δὲ τὸ γένος τοῦ ἑπομένου τὸ ἀναφορικὸν ἔθει Ἀττικῷ. — 5. Ὅσπερ δὴ νόμος.) Τὸ ἀναφορικὸν ἔθει Ἀττικῷ τῷ ἐπιφερομένῳ συνεφώνησε κατὰ γένος· ἔδει γὰρ εἰπεῖν· Ὅπερ δὴ νόμος. Ἄρχον δὲ καὶ ἡγεμονικὸν ἡ ψυχὴ καὶ ὁ νοῦς· φύσει δὲ δεύτερον τὸ σῶμα, καὶ αἱ ἄλογοι τῆς ψυχῆς ἐπιθυμίαι. — 6. Ὧν ἀπηριθμησάμην.) Χώρας καὶ καιροὺς καὶ τλ. — 7. Τηρούμενον.) Ἕκαστον δηλ. — 8. Ἡ σύνεσις.) Οὐ κυρίως ἐλήφθη ἐνταῦθα ἡ σύνεσις, ἀλλ᾽ ἀντὶ τοῦ, Τὸ φρονοῦν, καὶ οἴεσθαι· ὅθεν καὶ ὁ Σχολιαστ. Βασιλ. φησὶν ὅτι μᾶλλον ἡ Οἴησις δεῖ γράφειν· εὐδέτως ἔχει καὶ τὸ Ἡ σύνεσις, ἐπὶ μεγα-

τῶν συμμαχούντων[9] γίνεται, καὶ ὅσην εἰσφέρειν ἔδει[10] σπουδὴν, γυμνοῦν τὴν νόσον τοῖς θεραπεύουσιν· ὥστε τὴν ἰατρείαν φεύγειν εἰσφερόμεθα, καὶ ἐσμὲν ἀνδρεῖοι καθ' ἑαυτῶν, καὶ κατὰ τῆς ὑγείας ἡμῶν ἐπιστήμονες. Ἢ γὰρ δουλοπρεπῶς τὴν ἁμαρτίαν ἐκλέψαμεν, ὥσπερ τι πάθος ὕπουλον κακόηθες ἐν τῷ βάθει τῆς ψυχῆς συγκαλύπτοντες, ὡς καὶ τὸν μέγαν λήσοντες ὀφθαλμὸν τοῦ Θεοῦ, καὶ τῆς δίκης ἂν τοὺς ἀνθρώπους λάθωμεν. Ἢ προφασιζόμεθα[11] προφάσεις ἐν ἁμαρτίαις, λόγους συνηγόρους τοῖς πάθεσιν ἀνευρίσκοντες· ἢ τὰς ἀκοὰς ἀποφράξαντες, ἀσπίδος κωφῆς[12] καὶ τὰ ὦτα βυούσης τρόπον, μὴ ἀκοῦσαι φωνῆς ἐπᾳδόντων φιλονεικοῦμεν, μηδὲ φαρμακευθῆναι σοφίας φαρμάκοις, οἷς ἀῤῥωστία ψυχῆς θεραπεύεται. Ἢ τὸ τελευταῖον, οἵ γε τολμηρότεροι ἡμῶν καὶ γενναιότεροι, καὶ φανερῶς ἀναισχυντοῦμεν πρός τε τὴν ἁμαρτίαν, καὶ τοὺς ταύτης θεραπευτὰς, γυμνῇ τῇ κεφαλῇ,[13] τὸ δὴ λεγόμενον, χωροῦντες πρὸς πᾶσαν παρανομίαν. Ὢ τῆς παραπληξίας! ἢ εἴτι ἄλλο τῷ τοιούτῳ πάθει κυριώτερον ὄνομα! Καὶ οὓς ἀγαπᾷν ὡς εὐεργέτας ἐχρῆν, τούτους ὡς ἐχθροὺς ἀμυνόμεθα, μισοῦντες ἐν πύλαις[14] ἐλέγχοντας, καὶ λόγον ὅσιον βδελυσσόμενοι, καὶ οἰόμεθα μᾶλλον πολεμήσειν τοὺς ἡμῖν εὔνους, ἂν ὅτι πλεῖστα ἡμᾶς αὐτοὺς κακῶς δράσωμεν· ὥσπερ οἱ τῶν ἰδίων σαρκῶν ἁπτόμενοι, τὰς τῶν πέλας δαπανᾷν νομίζοντες.

§ 11. Ταῦτά ἐστιν, οἷς ἐγὼ τὴν καθ' ἡμᾶς ἰατρικὴν τῆς περὶ τὰ σώματα ἐργωδεστέραν τίθεμαι μακρῷ, καὶ διὰ τοῦτο[2] τιμιωτέραν. Καὶ ὅτι ἐκείνη μὲν ὀλίγα τῶν ἐν τῷ βάθει κατοπτεύουσα περὶ τὸ φαινόμενον, ἡ πλείων τῆς πραγματείας·[3] ἡμῖν δὲ περὶ τὸν κρυπτὸν τῆς καρδίας ἄνθρωπον ἡ πᾶσα θεραπεία τε καὶ σπουδὴ, καὶ πρὸς τὸν ἔνδοθεν[4] ἡμῖν ἀντιπολεμοῦντα καὶ ἀντιπαλαίοντα ἡ μάχη, ὃς ἡμῖν αὐτοῖς ὅπλοις καθ' ἡμῶν χρώμενος, τὸ δεινότατον! τῷ τῆς ἁμαρτίας θανάτῳ δίδωσι. Πρὸς οὖν ταῦτα, πολλῆς μὲν καὶ παντελοῦς τῆς πίστεως, μείζονος δὲ τῆς παρὰ

---

λαυχίας λαμβανόμενον. — 9. Κατὰ τῶν συμμαχούντων.) Ταῖς ψυχαῖς διδασκάλων. — 10. Ἔδει.) Ἀντὶ Δεῖ μεγάλην εἰσφέρειν σπουδήν. — 11. Προφασιζόμεθα.) ψαλμ. ρμ'. 4. — 12. Ἀσπίδος κωφῆς.) ψαλμ. νζ'. 4. «Θυμὸς αὐτοῖς »κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, ὡσεὶ »ἀσπίδος κωφῆς, καὶ βυούσης τὰ ὦτα »αὐτῆς, ἥτις οὐκ εἰσακούσεται φωνῆς »ἐπᾳδόντων, φαρμακοῦταί φαρμακευο»μένη παρὰ σοφοῦ.» — 13. Γυμνῇ τῇ κεφαλῇ.) Παροιμία ἐπὶ τῶν θρασέως καὶ ἀναισχύντως χωρούντων πρὸς πᾶν τὸ τυχόν. — 14. Μισοῦντες ἐν πύλαις.) Τοὺς εὔνους καὶ γνησίως ἔχοντας πρὸς ἡμᾶς, φησὶ, καὶ ἐν οἴκοις καὶ εἴσω καὶ ἔξω πυλῶν ὄντας ἡμᾶς, καὶ συνοικοῦντας σχεδὸν, ἐλέγχοντας κηδεμονικῶς, μισεῖτε καὶ εἰς πρόσνομμα τίθεσθε· Σχολιαστ. Βασίλ. Ἐμοὶ δὲ δοκεῖ τὸ Ἐν πύλαις, σημαίνειν τὰς τοῦ βήματος πύλας, ἔνθα ἱστάμενοι οἱ ἱεροὶ διδάσκαλοι διδάσκουσι τὸν λαόν.

§ 11. 2. Καὶ διὰ τοῦτο.) Διὰ τὸ εἶναι ἐργωδεστέραν δηλ. — 3. Ἡ πλείων τῆς πραγματείας.) Ἀντὶ ἡ πλείων πραγματία ἐστίν. — 4. Πρὸς τὸν ἔνδοθεν.) Διὰ τῶν τῆς ψυχῆς παθῶν δηλ. Τὸν

Θεοῦ συνεργείας, οὐκ ὀλίγης δὲ τῆς ἡμετέρας ἀντιτεχνήσεως, ὥς γε ἐμαυτὸν πείθω, χρεία, καὶ τῆς λόγῳ καὶ ἔργῳ θεωρουμένης,[5] εἴτε καὶ[6] προσαγομένης, εἰ δεῖ καλῶς ἡμῖν θεραπεύεσθαι καὶ ἀποκαθαίρεσθαι· καὶ ὡς πλείστου ἀξίας εἶναι τὸ τιμιώτατον, ὧν ἔχομεν, τὰς ψυχάς.

§ 12. Τὰ γε μὴν ἀμφοτέρων τῶν θεραπειῶν τέλη,[2] τοῦτο γὰρ ἡμῖν εἰς τὴν ἐξέτασιν ἔτι λείπεται. Τῇ μὲν[3] ὑγίαν ἢ εὐεξίαν σαρκός, ἢ οὖσαν φυλάξαι, ἢ ἀπελθοῦσαν ἀνακαλέσασθαι, ὧν οὔπω δῆλον, εἴ τι συνοίσει τοῖς κεκτημένοις. Ἐπεὶ καὶ τὰ ἐναντία πολλάκις πλείω τοὺς ἔχοντας ὤνησεν, ὥσπερ πενίαι τε καὶ πλοῦτοι, δόξαι τε καὶ ἀδοξίαι, ταπεινότητες καὶ λαμπρότητες. καὶ ὅσα ἐν μέσῳ κείμενα κατὰ τὴν φύσιν, καὶ οὐδὲν μᾶλλον τῇδε ἢ τῇδε νεύοντα, τῇ χρήσει καὶ τῇ προαιρέσει τῶν κεκτημένων τὸ βέλτιον ἢ τὸ χεῖρον λαμβάνει. Τῇ δὲ[4] τὸ προκείμενον, πτερῶσαι ψυχὴν καὶ ἁρπάσαι κόσμου, καὶ δοῦναι Θεῷ. Καὶ τὸ κατ' εἰκόνα,[5] ἢ μένον τηρῆσαι, ἢ κινδυνεῦον χειραγωγῆσαι, ἢ διαῤῥυὲν ἀνασώσασθαι, εἰσοικῆσαι[6] τε τὸν Χριστὸν ἐν ταῖς καρδίαις διὰ τοῦ Πνεύματος· καὶ τὸ κεφάλαιον, Θεὸν ποιῆσαι καὶ τῆς ἄνω μακαριότητος, τὸν τῆς ἄνω συντάξεως.[7] Τοῦτο ἡμῖν ὁ παιδαγωγὸς γίνεται νόμος· τοῦτο οἱ μέσοι Χριστοῦ καὶ τοῦ νόμου προφῆται. Τοῦτο ὁ τοῦ πνευματικοῦ νόμου τελειωτής, καὶ τὸ τέλος, ὁ Χριστός. Τοῦτο ἡ κενωθεῖσα θεότης·[8] τοῦτο ἡ προσληφθεῖσα σάρξ· τοῦτο ἡ καινὴ μίξις Θεὸς καὶ ἄνθρωπος, ἓν ἐξ ἀμφοῖν, καὶ δι' ἑνὸς ἀμφότερα. Διὰ τοῦτο Θεὸς σαρκὶ διὰ μέσης ψυχῆς ἀνεκράθη, καὶ συνεδέθη τὰ διεστῶτα τῇ πρὸς ἄμφω τοῦ μεσιτεύοντος οἰκειότητι,[9] πάντα ὑπὲρ πάντων ἦλθεν εἰς ἕν, καὶ ὑπὲρ ἑνὸς τοῦ προπάτορος ἡ ψυχή,[10] διὰ τὴν παρακούσασαν. Ἡ σὰρξ διὰ τὴν ὑπουργήσασαν καὶ συγκατακριθεῖσαν, ἡ μὲν[11] ψυχήν, ἡ δὲ σάρκα. Ὁ

---

διάβολον ἐννοεῖ ἐνταῦθα. — 5. Καὶ τῆς λόγῳ καὶ ἔργῳ θεωρουμένης.) Ἀντιτεχνήσεως δηλ. — 6. Εἴτε καί.) Τὸ Εἴτε διαζευκτικὸν ἀντὶ τοῦ Ἢ ἐν τοῖς ἀορίστοις· ἀλλ' οὐ τοσοῦτο δόκιμον μόνον κείμενον· μετὰ δὲ ἑτέρου καὶ μάλα· οἷον· εἴτ' οὖν ἀληθές, εἴτ' οὖν ψεῦδος· Πλάτ. Ἀπολογ.

§ 12. 2. Τέλη.) Ἐννοεῖται Ἐνταῦθα. — 3. Τῇ μέν.) Ἰατρικῇ τέλος ἐστὶ τὸ ὑγιείαν φυλάξαι καὶ τλ. — 4. Τῇ δέ.) Ψυχῶν θεραπείᾳ τὸ προκείμενον τέλος ἐστὶ τὸ ἀναπτερῶσαι ψυχὴν καὶ τλ. — 5. Κατ' εἰκόνα.) Ὅπερ δηλ. ποιεῖ τὸν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ ὀνομάζεσθαι· θ'. 5. Σημειώσ. — 6. Εἰσοικῆσαι.) Παῦλ. Ἐ'ρεσ. γ'. 17. »Κατοικῆσαι τὸν Χριστὸν »διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑ»μῶν.« — 7. Τὸν τῆς ἄνω συντάξεως.) Τὸν ἄνθρωπον τῆς ἄνω ὄντα συντάξεως. — 8. Ἡ κενωθεῖσα θεότης.) Οἱονεὶ χυθεῖσα καὶ τοῦ τηλικούτου ὕψους κατενεχθεῖσα μέχρι καὶ τοῦ σὰρξ ἐν γαστρὶ παρθένου παγῆναι· ὅθεν καὶ καινὴν μίξιν εἶπε τὸν θεάνθρωπον Ἰησοῦν. — 9. Τῇ πρὸς ἄμφω τοῦ μεσιτεύοντος οἰκειότητι.) Τῇ οἰκειότητι τῆς μεσιτευούσης ψυχῆς, ἣν ἔχει πρός τε Θεόν, ἐκ θείου οὖσα φυσήματος, καὶ πρὸς τὸ σῶμα, συνδεδεμένη αὐτῷ ὑπάρχουσα. — 10. Ἡ ψυχή.) Ἦλθε διὰ τὴν παρακούσασαν ψυχὴν τοῦ Ἀδάμ. καὶ τλ. Ταῦτα δὲ ἐπεξήγησις ἐστὶ τοῦ Πάντα. — 11. Ἡ μέν.) Παίζει ἐν ταῖς ἐκφράσεσιν· οἷον Ἡ μὲν

Χριστός, διὰ τὸν Ἀδὰμ τὸν γινόμενον ὑπὸ τὴν ἁμαρτίαν, ὁ κρείσσων ἁμαρτίας καὶ ὑψηλότερος. Διὰ τοῦτο ἀντεισήχθη[12] τῷ παλαιῷ τὸ νέον, καὶ διὰ πάθους ὁ παθὼν ἀνεκλήθη. Καὶ ὑπὲρ ἑκάστου τῶν ἡμετέρων, ἕκαστον τοῦ ὑπὲρ ἡμᾶς ἀντεδόθη. Καὶ γέγονε καινὸν τὸ μυστήριον, ἡ περὶ τὸν πεσόντα δι' ἀπείθειαν ἐκ φιλανθρωπίας οἰκονομία. Διὰ τοῦτο γέννησις καὶ παρθένος· διὰ τοῦτο φάτνη[13] καὶ Βηθλεέμ. Ἡ γέννησις, ὑπὲρ τῆς πλάσεως· ἡ παρθένος, ὑπὲρ τῆς γυναικός. Ἡ Βηθλεέμ, διὰ τὴν Ἐδέμ. Ἡ φάτνη, διὰ τὸν παράδεισον. Τὰ μικρὰ καὶ φαινόμενα, ὑπὲρ τῶν μεγάλων καὶ κρυπτομένων. Διὰ τοῦτο ἄγγελλοι δοξάζοντες τὸν οὐράνιον, εἶτα ἐπίγειον, καὶ ποιμένες δόξαν ὁρῶντες ἐπὶ τῷ ἀμνῷ καὶ ποιμένι, καὶ ἀστὴρ ἡγούμενος, καὶ μάγοι προσπίπτοντες καὶ δωροφοροῦντες, ἵν' εἰδωλατρεία καταλυθῇ. Διὰ τοῦτο Ἰησοῦς βαπτιζόμενος,[14] καὶ ἄνωθεν μαρτυρούμενος, καὶ νηστεύων, καὶ πειραζόμενος, καὶ νικῶν τὸν νικήσαντα. Διὰ τοῦτο δαίμονες[15] ἐλαυνόμενοι, καὶ νόσοι θεραπευόμεναι, καὶ τὸ μέγα κήρυγμα μικροῖς ἐγχειριζόμενον καὶ κατορθούμενον. Διὰ τοῦτο ἔθνη φρυασσόμενα,[16] καὶ λαοὶ μελετῶντες κενά. Διὰ τοῦτο ξύλον κατὰ τοῦ ξύλου,[17] καὶ κατὰ τῆς χειρὸς χεῖρες. Τῆς ἀκρατῶς ἐκταθείσης, αἱ γενναίως ταθεῖσαι· τῆς ἀνειμένης, αἱ τοῖς ἥλοις δεθεῖσαι, τῆς ἐκβαλούσης Ἀδάμ, αἱ τὰ πέρατα οἰκειούμεναι. Διὰ τοῦτο ὕψος[18] κατὰ τοῦ πτώματος,

---

ψυχὴ ἦλθεν διὰ τὴν παρακούσασαν ψυχήν, ἡ δὲ σάρξ, διὰ τὴν ὑπουργήσασαν σάρκα. — 12. Ἀντεισήχθη.) Τῷ παλαιῷ πάθει τῶν πρωτοπλάστων τὸ νέον πάθος· καὶ ὁ παθὼν Ἀδὰμ διὰ τὸ τοῦ Χριστοῦ πάθος ἐκλήθη. — 13. Φάτνη καὶ τλ.) Καίσαρος Αὐγούστου ἀπογράφεσθαι κελεύσαντος πάντας, ἦλθε καὶ Ἰωσὴφ ὁ μεμνηστευμένος Μαριὰμ εἰς Βηθλεὲμ ἀπογράψασθαι. Ὄντων δὲ ἐκεῖ αὐτῶν, Μαριὰμ οὖσα ἐκ Πνεύματος ἁγίου ἔγκυος, πληρωθεισῶν τῶν ἡμερῶν, ἔτεκεν Ἰησοῦν, καὶ σπαργανώσασα ἀνέθηκεν ἐν φάτνῃ, οὐκ ὄντος αὐτοῖς τόπου· τότε καὶ Ἄγγελοι ὕμνουν λέγοντες. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· καὶ Ποιμένες, ὄντες ἐκεῖπου, ἀγγέλου αὐτοῖς εἰπόντος, ἦλθον καὶ εἶδον τὸ παιδίον ἐν φάτνῃ κείμενον· Λουκ. β'. Τότε καὶ Μάγοι ἀπὸ ἀνατολῶν ἰδόντες τὸν ἀστέρα, ἦλθον εἰς προσκύνησιν αὐτοῦ, φέροντες καὶ δῶρα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν Ματθ. β'. — 14. Βαπτιζόμενος.) Ἰωάννου δὲ βαπτίζοντος ἐν τῇ ἐρήμῳ τοὺς προσερχομένους αὐτῷ βάπτισμα μετανοίας, προσέρχεται καὶ Ἰησοῦς ἀνὴρ ἤδη ὤν, ὡσεὶ τριάκοντα ἐτῶν, αὐτῷ βαπτισθῆναι, ὅτε καὶ φωνὴ οὐρανόθεν ἦλθε λέγουσα· οὗτος ἐστὶν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα· Ματθ. γ'. 17. Λουκ. γ'. 22. 23. μετὰ δὲ ταῦτα ἐλθὼν Ἰησοῦς εἰς τὴν ἔρημον καὶ νηστεύσας τεσσαράκοντα ἡμέρας, ἐπειράζετο ὑπὸ τοῦ διαβόλου, πεινάσας· ἀλλ' ἐνίκησεν ὁ Θεάνθρωπος τὸν νικήσαντα τὸν ἄνθρωπον· Ματθ. δ'. Λουκ. δ'. — 15. Δαίμονες.) Μετὰ δὲ ταῦτα κηρύσσων ὁ Ἰησοῦς τὸ εὐαγγέλιον τῆς βασιλείας, πᾶσαν νόσον ἐθεράπευε, καὶ δαιμονιζομένους· Ματθ. δ'. 23, 24. — 16. Ἔθνη φρυασσόμενα.) Παρὰ τοῦ Δαβὶδ ἐλήφθη ἡ ἔκφρασις· ψαλμ. β'. λέγοντος· Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά. — 17. Ξύλον κατὰ τοῦ ξύλου.) Σταυρωθεὶς γὰρ ὁ Σωτὴρ ἐπὶ ξύλου, καὶ ἐκτείνας τὰς χεῖρας ἐν τῷ προσηλωθῆναι, ἐρύσατο τὸν Ἀδὰμ ἁπλώσαντα τὰς χεῖρας ἐπὶ τὸ ξύλον τῆς βρώσεως, καὶ φαγόντα ἀπὸ τοῦ καρποῦ, οὗ ὁ Θεὸς αὐτὸν ἀπηγόρευσε φαγεῖν. Γεν. γ'. 6. — 18. Ὕψος καὶ τλ.) Τὸ ἐπὶ σταυροῦ ὕψος τοῦ Χριστοῦ ἐγένετο κατὰ τοῦ ἀπὸ

ἡ χολὴ κατὰ τῆς γεύσεως, καὶ στέφανος ἀκάνθιος[19] κατὰ τοῦ πονηροῦ κράτους, καὶ θάνατος κατὰ τοῦ θανάτου, καὶ σκότος[20] ὑπὲρ τοῦ φωτὸς, καὶ ταφὴ[21] κατὰ τῆς εἰς γῆν[22] ἀποστροφῆς, καὶ ἀνάστασις[23] ὑπὲρ τῆς ἀναστάσεως. Ταῦτα πάντα παιδαγωγία τις ἦν περὶ ἡμᾶς τοῦ Θεοῦ, καὶ τῆς ἀσθενείας ἰατρεία τῆς ἡμετέρας, τὸν παλαιὸν Ἀδὰμ, ὅθεν ἐξέπεσεν, ἐπανάγουσα, καὶ τῷ ξύλῳ τῆς ζωῆς προσάγουσα, οὗ τὸ ξύλον[24] ἡμᾶς τῆς γνώσεως, οὐ κατὰ καιρὸν, οὐδ᾿ ἐπιτηδείως μεταληφθὲν, ἠλλοτρίωσε. Ταύτης ἡμεῖς τῆς θεραπείας ὑπηρέται καὶ συνεργοὶ, ὅσοι τῶν ἄλλων προκαθεζόμεθα. Οἷς μέγα μὲν τὸ τὰ ἴδια πάθη καὶ ἀῤῥωστήματα καὶ γινώσκειν καὶ θεραπεύειν· μᾶλλον δὲ[25] οὔπω μέγα, πλὴν τοῦτο λέγειν ἡμᾶς ἡ τῶν πολλῶν κακία πεποίηκε, τῶν ἐπὶ ταύτης ὄντων τῆς τάξεως, πολλῷ δὲ μεῖζον τὸ τὰ τῶν ἄλλων ἰᾶσθαι δύνασθαι καὶ ἀνακαθαίρειν ἐπιστημόνως, καὶ ὡς ἂν ἀμφοτέροις λυσιτελοίη, τοῖς τε τῆς θεραπείας χρήζουσι, καὶ τοῖς ἰατρεύειν πεπιστευμένοις.

§ 13. Εἶτα οἱ μὲν τῶν σωμάτων θεραπευταὶ, πόνους τε καὶ ἀγρυπνίας καὶ φροντίδας ἃς ἴσμεν ἕξουσι, καὶ τὸ ἐπ᾿ ἀλλοτρίαις συμφοραῖς ἰδίας καρποῦσθαι λύπας, ὡς ἔφη τις[2] τῶν παρ᾿ ἐκείνοις σοφῶν. Καὶ τὰ μὲν αὐτοὶ μοχθοῦντες καὶ ἀνευρίσκοντες, τὰ δὲ παρ᾿ ἄλλων ἐρανιζόμενοι, καὶ συνεισφέροντες, προσοίσουσι τοῖς δεομένοις· καὶ οὐδὲν οὕτω μικρὸν αὐτοῖς ἢ εὑρεθὲν, ἢ διαφυγὸν, οὐδὲ τῶν ἐλαχίστων, ὡς μὴ μέγα[3] πρὸς τὴν τῆς ὑγιείας ῥοπὴν, ἢ τοῦ κινδύνου τοὐναντίον ὑποληφθῆναι· καὶ ταῦτα ὑπὲρ τίνος; Ἵνα ἄνθρωπος ζήσῃ πλείους τὰς ὑπὲρ γῆς ἡμέρας, καὶ οὗτος οὐδὲ τῶν ἐπιεικῶν ἴσως, ἀλλὰ καὶ τῶν μοχθηροτάτων, ᾧ πάλαι

---

τοῦ ὕψους τῆς θείας εὐγενείας πεπτωκότος Ἀδάμ. — 19. Στέφ. Ἀκάνθινος.) Οἱ γὰρ στρατιῶται, παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ σταυρῶσαι, πλέξαντες στέφανον ἐξ ἀκανθῶν, ἐπέθηκαν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. Ματθ. κζ΄. 29. — 20. Καὶ σκότος.) Ὄντος τοῦ Ἰησοῦ ἐπὶ τοῦ σταυροῦ, σκότος ἐγένετο ἀπὸ ἕκτης ὥρας ἕως ἐννάτης. Ματθ. κζ΄. 45. — 21. Καὶ ταφή.) Ἀποθανόντος τοῦ Ἰησοῦ ἐπὶ τοῦ σταυροῦ, λαβὼν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας τὸ σῶμα, καὶ ἐντυλίξας σινδόνι καθαρᾷ, ἔθηκεν ἐν καινῷ αὐτοῦ μνημείῳ, προσκυλίσας λίθον μέγαν τῇ θύρᾳ τοῦ μνημείου. Ματθ. κζ΄. 57... 60. — 22. Κατὰ τῆς εἰς γῆν.) Τοῦτο δὲ ἐγένετο, ἵνα ῥυσθῇ τὸ ἀνθρώπινον γένος τῆς κατάρας, Ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ· Γενέσ. γ΄. 19. — 23. Καὶ ἀνάστασις.) Ὁ Ἰησοῦς ἀνέστη τριήμερος, ἵνα μηνύσῃ ἡμᾶς περὶ τῆς μελλούσης ἀναστάσεως· ὅθεν καὶ Παῦλος Κορινθ. Α΄. ιε΄. 20. λέγει· »Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, »ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο· »Ἐπειδὴ γὰρ δι᾿ ἀνθρώπου ὁ θάνατος, »καὶ δι᾿ ἀνθρώπου ἀνάστασις νεκρῶν· »Ὥσπερ οὖν ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ »πάντες ζωοποιηθήσονται.« — 24. Οὗ τὸ ξύλον.) Ἐκεῖ δηλ. ὅθεν τὸ ξύλον τῆς γνώσ. ἡμᾶς... ἠλλοτρίωσε. — 25. Μᾶλλον δέ.) Ἐπιδιορθοῖ τρόπον τινὰ τὸ εἰρημένον.

§ 13. 2. Ὡς ἔφη τις.) Ἱπποκράτους φασὶ τοῦτο εἶναι· ὃς κἂν ταῖς ἀποτυχίαις ἔφη ψέγεσθαι τοὺς ἰατροὺς, καὶ ἐν ταῖς ἐπιτυχίαις οὐκ ἐπαινεῖσθαι, ἀλλὰ τῷ Θεῷ τὰς ὑγιείας ἀναφέρειν. — 3. Ὡς μὴ μέγα.) Ὥστε μὴ ὑποληφθῆναι μέγα μὲν πρὸς τὴν ῥοπὴν τῆς ὑγιείας, τοὐναντίον δὲ πρὸς τὴν ῥοπὴν τοῦ κιν-



Ε.Γ. ΔΤΠ Κ.ΤΙ ΙΩΑΝΝΙΝΑ 2006

τεθνάναι ἴσως ἄμεινον ἦν ὄντι κακῷ, ἵνα τοῦ μεγίστου τῶν ἀῤῥωστημάτων, κακίας ἀπαλλαγῇ. Εἰ δὲ καὶ τῶν καλῶν θείημεν, πόσον βιωσομένῳ;[4] τὸν ἅπαντα χρόνον; ἢ τί τῆς ἐνταῦθα κερδαίνουσι[5] ζωῆς; ἧς τὸ λυθῆναι ζητεῖν,[6] τῶν καλῶν τὸ πρῶτον καὶ ἀσφαλέστατον, ὡς ἐμοὶ δοκεῖν, ἀνδρὸς ὄντως ὑγιοῦς καὶ νοῦν ἔχοντος· ἡμῖν δὲ οἷς τὸ κινδυνευόμενόν ἐστι σωτηρία ψυχῆς, τῆς μακαρίας τε καὶ ἀθανάτου, καὶ ἀθάνατα κολασθησομένης, ἢ ἐπαινεθησομένης[7] διὰ τὴν κακίαν ἢ ἀρετὴν, πόσον χρὴ δοκεῖν εἶναι τὸν ἀγῶνα, ἢ ὅσης δεῖν τῆς ἐπιστήμης, ἰατρεῦσαι καλῶς ἢ ἰατρευθῆναι; καὶ τὴν ζωὴν μεταθέσθαι; καὶ δοῦναι τὸν χοῦν τῷ πνεύματι; Οὐ γὰρ τῶν αὐτῶν[8] οὔτε λόγων οὔτε ὁρμῶν, οὔτε τὸ θῆλυ τῷ ἄῤῥενι, οὔτε γῆρα νεότης, οὔτε πενία πλοῦτος, οὔτε εὐθυμῶν ἀθυμοῦντι, οὔτε ὁ κάμνων τῷ ὑγιαίνοντι, ἄρχοντές τε καὶ ἀρχόμενοι,[9] σοφοί τε καὶ ἀμαθεῖς, δειλοί τε καὶ θρασεῖς, ὀργίλοι καὶ πρᾶοι, κατορθοῦντες καὶ πίπτοντες· κἂν ἔτι ἀκριβῶς ἐξετάσῃς, ὅσον τὸ μέσον[10] τῶν ἐν συζυγίαις πρὸς τοὺς ἀγάμους; κἂν τούτοις πάλιν, τῶν τῆς ἐρημίας πρὸς τοὺς κοινωνικοὺς καὶ μιγάδας· τῶν ἐξητασμένων καὶ διαβεβηκότων ἐν θεωρίᾳ, πρὸς τοὺς ἁπλῶς κατευθύνοντας· ἀστικῶν τε αὖ καὶ τῶν ἐκ τῆς ἀγροικίας, ἀκεραιοτέρων τε καὶ πανουργοτέρων τῶν ἐν πράγμασι, πρὸς τοὺς ἡσυχάζοντας· τῶν μεταβολῇ πληγέντων, πρὸς τοὺς εὐδρομοῦντας καὶ ἀμαθεῖς τοῦ χείρονος; Τούτων γὰρ ἕκαστοι, πλεῖον ἀλλήλων ἔστιν ὅτε ταῖς ἐπιθυμίαις καὶ ταῖς ὁρμαῖς, ἢ κατὰ τὰς τῶν σωμάτων ἰδέας διαφέροντες· εἰ δὲ βούλει, τὰς τῶν στοιχείων[11] μίξεις καὶ κράσεις, ἐξ ὧν συνεστήκαμεν, οὐ ῥάστην ἔχουσι τὴν οἰκονομίαν. Ἀλλ' ὥσπερ τοῖς σώμασιν οὐ τὴν αὐτὴν φαρμακείαν τε καὶ τροφὴν προσφέρονται, ἄλλοι δὲ ἄλλην ἢ εὐεκτοῦντες ἢ κάμνοντες, οὕτω καὶ τὰς ψυχὰς διαφόρῳ λόγῳ καὶ ἀγωγῇ θεραπεύονται· μάρτυρες δὲ τῆς θεραπείας, ὧν καὶ τὰ πάθη· τοὺς μὲν ἄγει λόγος, οἱ δὲ ῥυθμίζονται παραδείγματι· οἱ μὲν δέονται κέντρων, οἱ δὲ χαλι-

---

δύνου. — 4. Πόσον βιωσομένῳ.) Θείημεν ὅτι ἐστὶ τῶν καλῶν ἀνθρώπῳ ἐπὶ πόσον χρόνον βιωσομένῳ. — 5. Κερδαίνουσι.) Τοῖς ἀνθρώποις δηλ. ἑνικῶς γὰρ καὶ πληθυντικῶς τὸ αὐτὸ, παίζων τὴν φράσιν, ἐκφέρει. — 6. Ἧς τὸ λυθῆναι ζητεῖν.) Οὐκ αὐτόχειρας γενομένους, ἀλλὰ ποθεῖν καὶ ἐρίεσθαι λέγει τῶν ἑστώτων τε καὶ κρειττόνων, καὶ τὴν ἀνάλυσιν ἐπισπεύδειν, καὶ σὺν Χριστῷ μᾶλλον εἶναι. — 7. Κολασθησομένης ἢ ἐπαινεθησομένης.) Τὸ μὲν Διὰ κακίαν πρὸς τὸ Κολασθησομ. τὸ δὲ Δι' ἀρετὴν πρὸς τὸ Ἐπαινεθ. — 8. Οὐ γὰρ τῶν αὐτῶν.) Ἐννοεῖται προσῆκον τῇ ἐννοίᾳ ῥῆμα· οἷον· οὔτε τὸ θῆλυ τῷ ἄρσενι δεῖται τῶν αὐτῶν λόγων καὶ ὁρμῶν, οὔτε νεότης γήρᾳ καὶ τλ. — 9. Ἄρχοντές τε καὶ ἀρχόμενοι.) Μετέβαλε τὸν τρόπον εἰς τὴν αὐτὴν πτῶσιν ἐξενεγκὼν τὰ ἐναντία. — 10. Ὅσον τὸ μέσον.) Εὑρήσεις ὅσον τὸ μέσον ἐστίν· ὅση δηλ. διαφορὰ ἐστὶ τῶν γεγαμηκότων πρὸς τοὺς ἀγ. καὶ τλ. — 11. Τὰς τῶν στοιχείων.) Τῶν τεσσάρων τούτων οἷον ἀρχῶν ὄντων τῆς συστάσεως τῶν σωμάτων, ξηροῦ δηλ.

νοῦ· οἱ μὲν γάρ εἰσι νωθεῖς, καὶ δυσκίνητοι πρὸς τὸ καλὸν, οὓς τῇ πληγῇ τοῦ λόγου διεγερτέον· οἱ δὲ θερμότεροι[12] τοῦ μετρίου τῷ πνεύματι, καὶ δυσκάθεκτοι ταῖς ὁρμαῖς, καθάπερ πῶλοι γενναῖοι πόῤῥω τῆς νύσσης θέοντες, οὓς βελτίους ἂν ποιήσειεν, ἄγχων καὶ ἀνακόπτων ὁ λόγος· τοὺς μὲν ἔπαινος ὤνησε, τοὺς δὲ ψόγος, ἀμφότερα μετὰ τοῦ καιροῦ· ἢ τοὐναντίον, ἔβλαψεν ἔξω τοῦ καιροῦ, καὶ τοῦ λόγου· τοὺς μὲν παράκλησις κατορθοῖ, τοὺς δὲ ἐπιτίμησις, καὶ αὕτη,[13] τοὺς μὲν ἐν τῷ κοινῷ διελεγχομένους, τοὺς δὲ κρύβδην νουθετουμένους. Φιλοῦσι γὰρ οἱ μὲν καταφρονεῖν τῶν ἰδίᾳ νουθετημάτων, πλήθους καταγνώσει σωφρονιζόμενοι· οἱ δὲ πρὸς τὴν ἐλευθερίαν τῶν ἐλέγχων ἀναισχυντεῖν, τῷ τῆς ἐπιτιμήσεως μυστηρίῳ παιδαγωγούμενοι, καὶ ἀντιδιδόντες τῆς συμπαθείας, τὴν εὐπείθειαν· τῶν μὲν πάντα τηρεῖν ἐπιμελῶς ἀναγκαῖον μέχρι καὶ τῶν μικροτάτων, ὅσους τὸ οἴεσθαι[14] λανθάνειν, ἐπειδὴ τοῦτο τεχνάζουσιν, ὡς σοφωτέρους ἐφύσησε· τῶν δὲ, ἔστιν ἃ καὶ παρορᾷν ἄμεινον, ὥστε ὁρῶντας μὴ ὁρᾷν, καὶ ἀκούοντας μὴ ἀκούειν, κατὰ τὴν παροιμίαν· ἵνα μὴ πρὸς ἀπόνοιαν αὐτοὺς ἐρεθίζωμεν, τῷ φιλοπόνῳ τῶν ἐλέγχων καταβαπτίζοντες, καὶ τέλος, πρὸς πάντα ποιήσωμεν τολμηροὺς, τὸ τῆς πειθοῦς φάρμακον τὴν αἰδῶ[15] διαλύσαντες. Καὶ μέν τοι καὶ ὀργιστέον τισὶν οὐκ ὀργιζομένους, καὶ ὑπεροπτέον οὐχ ὑπερορῶντας, καὶ ἀπογνωστέον, οὐκ ἀπογινώσκοντας, ὅσων τοῦτο ἡ φύσις[16] ἐπιζητεῖ, καὶ ἄλλους ἐπιεικείᾳ θεραπευτέον καὶ ταπεινότητι, καὶ τῷ συμπροθυμεῖσθαι δὴ περὶ τὰς χρηστοτέρας ἐλπίδας· καὶ τοὺς μὲν νικᾷν, τῶν δὲ ἡττᾶσθαι πολλάκις λυσιτελέστερον, καὶ τῶν μὲν εὐπορίαν καὶ δυναστείαν, τῶν δὲ πενίαν ἢ δυσπραγίαν ἢ ἐπαινεῖν ἢ ἀπεύχεσθαι. Οὐ γὰρ ὥσπερ ἐπὶ τῆς ἀρετῆς ἔχει καὶ τῆς κακίας, τὴν μὲν καλλίστην εἶναι καὶ ὠφελιμωτάτην ἀεὶ, καὶ πᾶσι· τὴν δὲ χειρίστην τε καὶ βλαβερωτάτην· οὕτω καὶ τῆς φαρμακείας τῆς ἡμετέρας, ἕν τι καὶ τὸ αὐτὸ ὑγιεινότατον, ἢ ἐπισφαλέστατον ἀεὶ καὶ τοῖς αὐτοῖς ἀποδέδεικται· οἷον τὸ αὐστηρὸν ἢ τὸ πρᾷον, ἢ τῶν ἄλλων, ὧν ἀπη-

---

καὶ ὑγροῦ, θερμοῦ καὶ ψυχροῦ, ἐξ ὧν τὰ σώματα συνέστηκε. — 12. Θερμότεροι.) Ἢ τῷ ἡμετέρῳ πνεύματι τῷ ψυχικῷ τοῦ μετρίου θερμότεροι, καὶ ὑπὲρ τὰ ἐσκαμμένα ἁλλόμενοι, ἢ τῷ ἁγίῳ Πνεύματι καὶ πίστει καὶ ζήλῳ τοῦ μετρίου πλείονι κινούμενοι· τὸ γὰρ καλὸν μὴ καλῶς ζηλωθὲν, οὐ καλὸν οὐδ᾽ ἐπαινετόν· Σχολιαστ. Βασίλ. — 13. Καὶ αὕτη.) Ἡ παράκλησις ἢ ἡ ἐπιτίμησις κατορθοῖ τοὺς μὲν καὶ τλ. — 14. Ὅσους τὸ οἴεσθαι.) Ὅσους ἔπασχεν ἡ οἴησις ὡς σοφωτέρους ἔν τινι, ἐν τῷ οἴεσθαι κακὰ ὄντα λανθάνειν· τὸ γὰρ δοκεῖν λανθάνειν τεχνάζουσι. — 15. Τὴν αἰδῶ.) Αὕτη γὰρ φαρμακεύει καὶ κατακάμπτει τῇ ὄψει καὶ τὸν νοῦν· προχέουσα σύμβολον τῆς σεμνότητος τὸ ἐν τῷ προσώπῳ ἐρύθημα. — 16. Ὅσων τοῦτο ἡ φύσις.) Τὸ μὴ ἀπογινώσκειν ἐς τ᾽ ἂν διευέκδοτόν τις ἑαυτὸν τοῖς παρὰ φύσιν ἐκδῷ, καὶ ἡ πᾶσα ἡ τῆς σωτηρίας ἐλπὶς περιαιρεθῇ.



Εργ. Δ της Κ. τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ρυθμισάμην ἕκαστον· ἀλλὰ τοῖς μὲν τοῦτο καλὸν καὶ χρήσιμον, τοῖς δὲ τὸ ἐναντίον πάλιν, ὅπως ἄν, οἶμαι, συμπίπτωσιν οἵ, τε καιροὶ καὶ τὰ πράγματα, καὶ ὁ τῶν θεραπευομένων ἐπιδέχηται τρόπος.

§ 14. Ἅπαντα μὲν διελέσθαι λόγῳ καὶ συνιδεῖν ἐπὶ τὸ ἀκριβέστατον, ὥστε καὶ κεφαλαίῳ[2] τὴν θεραπείαν περιλαβεῖν, ἀμήχανον, κἂν ἐπὶ πλεῖστον ἐξίκηταί τις ἐπιμελείας τε καὶ συνέσεως· ἐπὶ δὲ τῆς πείρας αὐτῆς καὶ τῶν πραγμάτων, τῷ θεραπευτῇ λόγῳ καὶ ἀνδρὶ καταφαίνεται· καθόλου δὲ ἡμῖν ἐκεῖνο γνώριμον, ὅτι καθάπερ τοῖς ἐπὶ κάλου[3] μετεώρου καὶ ὑψηλοῦ βαίνουσι, τῇ δε ἢ τῇ δε ἀποκλῖναι οὐκ ἀσφαλές, οὐδὲ εἰς μικρὸν φέρουσα ἡ ῥοπὴ κἂν μικρὰ φαίνηται, ἀσφάλεια δὲ αὐτοῖς ἡ ἰσοῤῥοπία καθίσταται· οὕτω κἀν τούτοις,[4] ὁποτέρωσε νεύσει τις, εἴτε διὰ κακίαν, εἴτε δι' ἀμαθίαν, κίνδυνος, οὐχ ὁ τυχών, αὐτῷ τε καὶ τοῖς ἀγομένοις, τοῦ τῆς ἁμαρτίας πτώματος· ἀλλ' ὁδῷ βασιλικῇ πορευτέον ὄντως, καὶ περισκεπτέον, μήτε εἰς δεξιά, μήτε εἰς ἀριστερά, καθὼς αἱ παροιμίαι φασίν, ἐκκλίνοντας· οὕτω μὲν δὴ τὰ τῶν παθῶν ἔχει τῶν ἡμετέρων, καὶ τοσοῦτον ἐνταῦθα τὸ ἔργον τῷ ἀγαθῷ ποιμένι, τῷ γνωστῶς γνωσομένῳ[5] ψυχὰς ποιμνίου, καὶ ἀφηγησομένῳ κατὰ λόγον ποιμαντικῆς, τῆς γε ὀρθῆς καὶ δικαίας, καὶ τοῦ ἀληθινοῦ ποιμένος ἡμῶν ἀξίας.

§ 15. Αὐτὴν δὲ τὴν τοῦ λόγου[2] διανομήν, ἵνα τελευταῖον εἴπω τὸ πρῶτον τῶν ἡμετέρων, τοῦ θείου λέγω καὶ ὑψηλοῦ, καὶ ὃ νῦν πάντες φιλοσοφοῦσιν· εἰ μέν τις ἄλλος θαῤῥεῖ, καὶ πάσης διανοίας ὑπολαμβάνει, θαυμάζω τοῦτον ἐγὼ τῆς συνέσεως, ἵνα μὴ λέγω, τῆς εὐηθείας. Ἐμοὶ δ' οὖν πρᾶγμα φαίνεται οὐ τῶν φαυλοτάτων, οὐδὲ ὀλίγου τοῦ πνεύματος, διδόναι κατὰ καιρὸν ἑκάστῳ τοῦ λόγου τὸ σιτομέτριον,[3] καὶ οἰκονομεῖν ἐν κρίσει τὴν ἀλήθειαν τῶν ἡμετέρων δογμάτων, ὅσα περὶ κόσμων ἢ κόσμου[4] πεφιλοσόφηται·

§ 14. 2. Καὶ κεφαλαίῳ.) Ἀμήχανόν φησιν ἅπαντα τὰ τοιαῦτα συνελεῖν, καὶ ὡς ἐν κεφαλαίῳ ἐπιτομώτερον συνιδεῖν, καὶ τὸ συμφέρον ἑκάστῳ καὶ πρὸς ψυχῆς θεραπείαν πρόσφορον, ἀδύνατον τῷ θεραπευτῇ λόγῳ τε καὶ ἀνδρὶ καταφαίνεται. — 3. Τοῖς ἐπὶ κάλου.) Ἓν ἔστι καὶ τοῦτο τῶν ἐν ἐπιδείξει θεαμάτων· Ἐν μετεώρῳ κάλου τεταμένου ἀδροῦ ἐπιβαίνει ἀνήρ, καὶ ξύλον ἐπίμηκες βαστάζων ταῖς χερσὶν οἷον στάθμην τοῦ σώματος, διαφόρως ἅλλεται ἐπ' αὐτοῦ. — 4. Κἂν τούτοις.) Τοῖς περὶ ψυχὴν λόγοις, ἢ τοῖς τούτους ἐμπιστευθεῖσιν ἀνδράσι. — 5. Τῷ γνωστῶς γνωσομένῳ.) Ἡ ἔκφρασις γραφικὴ ἀπὸ ἐκείνου, ὃ εἴρηκε Μωσῆς πρὸς τὸν Θεόν· Ἐμφάνισόν μοι σεαυτόν, ἵνα γνωστῶς ἴδω σε· Ἔξοδ. λγ'. 13.

§ 15. 2. Αὐτὴν δὲ τὴν τοῦ λόγου.) Τὴν διδασκαλίαν τῶν δογμάτων λέγει, οἰκονομοῦντες ἐν κρίσει, ἐν μὲν τοῖς, μὴ πᾶσαν τῶν δογμάτων παραγυμνοῦντες ἀλήθειαν· οὐ γὰρ πάντες χωροῦσι τὸν λόγον· ἐν δὲ τοῖς, φανεροῦντα διὰ τοὺς ἐξ ἀγνοίας βλαπτομένους καὶ χρῄζοντας. — 3. Τὸ σιτομέτριον.) Ἡ λέξις γραφική· Λουκ. ιβ'. 42. — 4. Περὶ κόσμων ἢ κόσμου.) Πρὸς Δημόκριτον ἀνατείνεται πολλοὺς κόσμους εἰπόντα. Διογ.

περὶ ὕλης·[5] περὶ ψυχῆς·[6] περὶ νοῦ καὶ τῶν νοερῶν φύσεων, βελτιόνων τε καὶ χειρόνων·[7] περὶ τῆς τὰ πάντα συνδεούσης τε καὶ διεξαγούσης προνοίας,[8] ὅσα τε κατὰ λόγον ἀπαντᾷν δοκεῖ, καὶ ὅσα παρὰ λόγον τὸν κάτω καὶ τὸν ἀνθρώπινον. Ἔτι τε ὅσα περὶ τῆς πρώτης[9] ἡμῶν συστάσεως καὶ τῆς τελευταίας ἀναπλάσεως τύπων τε καὶ ἀληθείας,[10] καὶ διαθηκῶν, καὶ Χριστοῦ παρουσίας πρώτης τε καὶ δευτέρας, σαρκώσεώς τε καὶ παθημάτων, καὶ ἀναλύσεως, ὅσα τε περὶ ἀναστάσεως, περὶ τέλους, περὶ κρίσεως καὶ ἀνταποδόσεως σκυθρωποτέρας[11] τε καὶ ἐνδοξοτέρας. Τὸ κεφάλαιον·[12] ὅσα περὶ τῆς ἀρχικῆς καὶ μακαρίας Τριάδος ὑποληπτέον· ὅσπερ[13] δὴ καὶ κινδύνων μέγιστος τοῖς φωτίζειν πεπιστευμένοις· ὡς μήτε εἰς μίαν ὑπόστασιν συναιρεθέντα τὸν λόγον δέει πολυθείας, ψιλὰ καταλιπεῖν ἡμῖν τὰ ὀνόματα, τὸν αὐτὸν Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα ὑπολαμβάνουσι· μήτε εἰς τρεῖς ἢ ἐκφύλους καὶ ἀλλοτρίας διαιρεθέντα, ἢ ἀτάκτους καὶ ἀνάρχους, καὶ οἷον εἰπεῖν, ἀντιθέους, πρὸς κακὸν ἴσον ἐκ τῶν ἐναντίων μεταπεσεῖν· ὥσπερ φυτοῦ διαστροφῆς ἐπὶ θάτερα πολὺ μετεκκλινομένης.

§ 16. Τριῶν γὰρ ὄντων[2] τῶν νῦν περὶ τὴν θεολογίαν ἀῤῥωστημάτων, ἀθεΐας, καὶ Ἰουδαϊσμοῦ, καὶ πολυθεΐας· ὧν τῆς μὲν Σαβέλλιος προστάτης ὁ Λίβυς ἐγένετο· τῆς δὲ Ἄρειος ὁ Ἀλεξανδρεύς· τῆς δέ, τινὲς τῶν ἄγαν παρ' ἡμῖν ὀρθοδόξων. Τίς ὁ ἐμὸς λόγος; Τῶν τριῶν ὅσον ἐστὶ βλαβερὸν διαφυγόντας, ἐν ὅροις μένειν τῆς εὐσεβείας, καὶ μήτε πρὸς τὴν Σαβελλίου ἀθεΐαν ἐκ τῆς καινῆς ταύτης ἀναλύσεως, ἢ συνθέσεως ὑπαχθῆναι, μὴ μᾶλλον ἓν τὰ πάντα, ἢ μηδὲν ἕκαστον εἶναι ὁριζομένους. Φεύγει γὰρ εἶναι ὅπερ ἔστιν εἰς ἄλληλα μεταχωροῦντα καὶ μεταβαίνοντα, ἢ σύνθετόν

---

Λαέρ. ἐν βίῳ Δημ. ιβ΄. — 5. Περὶ ὕλης.) Ἀμόρφου καὶ ἀκατασκευάστου, καὶ εἰδοποιηθείσης ἤδη· οὕτω γὰρ Πλάτων τὸν κόσμον δημιουργηθῆναι ἐξ ὕλης ἀνειδέου καὶ ἀμόρφου αἰωνίως προϋφεστώσης, καὶ ἐν χρόνῳ εἰδοποιηθείσης· Ἀλκίν. εἰσαγ. τῶν Πλάτ. δογμ. κεφ. θ΄. καὶ Ἀριστοτέλης δέ. Μεταφυσ. Ζ΄. γ΄. — 6. Περὶ ψυχῆς.) Λογικῆς καὶ ἀλόγου. — 7. Βελτιόνων τε καὶ χειρόνων.) Ἀγγέλων δηλ. καὶ Δαιμόνων. — 8. Προνοίας.) Ὁ γὰρ Ἀριστοτέλης μέχρι σελήνης ἔστη τὰ τῆς προνοίας. Διογ. Λαέρ. ἐν βίῳ Ἀριστ. — 9. Περὶ τῆς πρώτης καὶ τλ.) Ὅπως δηλ. ἐπλάσθημεν ὑπὸ Θεοῦ· καὶ ὅπως ἡ ἀνάπλασις ἡμῶν γέγονε διὰ τοῦ βαπτίσματος ἐν Χριστῷ. — 10. Τύπων τε καὶ ἀληθείας.) Τύποι δηλ. ἦσαν τὰ τῆς παλαιᾶς γραφῆς· ἀλήθεια δὲ τὰ τῆς νέας. — 11. Σκυθρωποτέρας.) Σκυθρωποτέρα μὲν ἡ εἰς ᾅδου, ἐνδοξοτέρα δὲ ἡ τοῦ παραδείσου. — 12. Τὸ κεφάλαιον.) Τὸ ἐν γένει ἔνθα ἡ πηγὴ καὶ ῥίζα πάντων· ἡ γὰρ βάσις καὶ τὸ θεμέλιον τῆς Χριστιανικῆς πίστεως ἐστὶν τὸ τῆς ἁγίας Τριάδος δόγμα. — 13. Ὅσπερ.) Ἀντὶ Ὅπερ· Ἀττικῶς δὲ πρὸς τὸ ἐπαγόμενον κατὰ γένος.

§ 16. 2. Τριῶν γὰρ ὄντων.) Τὸ πᾶν τῶν εἰρημένων εἰς τρία συνήγαγεν, εἰς ἀθεΐαν, Ἰουδαϊσμὸν, καὶ πολυθεΐαν· ὧν τῆς μὲν Σαβέλλιος προστάτης, εἰς μίαν ὑπόστασιν συνάγων τὴν ἁγίαν Τριάδα, οὐ μᾶλλον ἓν τούτων, ἢ μηδὲ ἓν τούτων ὁριζόμενος· σύνθετόν τινα Θεὸν ἀναπλάττων κατὰ τοὺς μύθους, ἀσεβεῖ· τῆς δὲ Ἄρειος, τέμνων τὰς φύσεις, καὶ μόνῳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράφων,

ΙΩΑΝΝΙΝΑ 2006